σφραινόμενα δὲ τὰ δύο ταῦτα τῇ οἰκείᾳ ποιότητι δύναται
ῥωννύειν παραπεμπόμενα διὰ τῶν ῥινῶν εἰς τὸ στόμαχον καὶ πνεύμονα καὶ καθό-
λου τὰ μόρια. ὁμοίως δὲ καὶ τὸ μῆλον ῥώννυσι ποιότητι. ὄξος μέντοι
καὶ γλίχωνα ἐκτιθέασι λειποθυμοῦσιν ὀσφραινόμενον. τῷ διὰ τῆς ποιό-
τητος τέμνειν τὸν ἐν τῷ στομάχῳ χυμόν. ἢ τῷ ῥωννύειν διὰ τὸ ὀξύ.
ἡ ἕλιξ δὲ τῶν ἀμπέλων ἢ μυρσίνη ἢ ῥόδα. ἢ τὰ ὅμοια ἐπὶ τοῦ πυρε-
τοῦ ὀσφραινόμενα, δύνανται καὶ ἐμψύχειν καὶ τονοῦν.

ξζ΄. Διὰ τί τὸ ἔλαιον οὐδενὶ τῶν ὑγρῶν ἀναμίγνυται. ὅτι γλίσχρον ὂν
καὶ παχυμερὲς καὶ μήτε τεμνόμενον εἰς λεπτὰ μόρια κα-
θάπερ τὰ ἄλλα ὑγρά, οὐ δίδωσι χώραν ἑτέρῳ ὑγρῷ ἐγκαταβλη-
θῆναι εἰς αὐτὸ ἢ ἀναμιχθῆναι αὐτῷ. τὰ δὲ ὁμιλοῦντα ἑαυτοῖς
ὁμιλεῖ τῶν κατὰ τὴν κρᾶσιν, ὥσαι ποιότητες τῶν στοιχείων παν-
τελῶς ἔχουσαι τὰς πρώτας ποιότητας ἀφανιζομένας καὶ ἑτέρ-
ας γινομένας. δυνάμεις ἢ πάλιν ὑπὸ φύσεως χωρισθῆναι ἢ σωθῆ-
ναι. τὸ δὲ μελίκρατον καὶ τὸ ὀξύκρατον, μιμεῖται τὴν φύσιν. τὰ καὶ
θέσει μὲν, νομιζόμενα κατὰ κρᾶσιν εἶναι. μὴ ὄντα δὲ κατ' ἀλήθειαν. καὶ πρὸς
τὴν φύσιν οὐσιωδῶς, ὥσπερ τὰ στοιχεῖα. τὰ δὲ κατὰ παράθεσιν, ὡς ὕδρε-
λαιον. τὰ δὲ κατὰ μῖξιν· ὡς κριθὴ πυροῖς. τὰ δὲ κατὰ κόλλησιν, ὡς λίθος
λίθῳ. τὰ δὲ κατὰ πρόσφυσιν καὶ ὁμοίωσιν, ὡς αἷμα σαρκί. ἢ μυελὸς ὀστῷ.
τὰ δὲ κατὰ γόμφωσιν. ὡς ξύλον ξύλῳ διὰ γόμφων τινῶν ἐν μέσῳ βαλ-
λομένων. τὰ δὲ κατὰ τὴν αὐτοχὴν ἑαυτοῦ ἢ περιπλοκήν. ὡς κρίκος κρίκῳ.
τὰ δὲ ἔμψυχον, ὥσπερ ἐπὶ τῶν παλαιόντων, καὶ ἐν τούτων τῶν ζώ-
ων μίγνυται ἡ ψυχὴ σώματι. διὰ τὸ πολὺ ἀπέχειν αὐτὸ παντί-
αν. ἀλλὰ μᾶλλον κατὰ τὴν ἰδιότητα ὁμιλεῖ σώματι ψυχὴ διὰ
μέσου τινός. ὥσπερ ἀμφοτέρων ἀναδεχόμενον φύσιν πνεῦμα. καὶ πρὸς φι-
λίαν γινόμενον καὶ συνεχόμενον. ἀμφοτέρων μίγνυσι τὸ ἀσώματον τῷ σώμα-
τι. τὸ ἀθάνατον τῷ φθαρτῷ, τὸ καθαρὸν τῷ ἀκαθάρτῳ. τὸ θεῖον τῷ γη-
ίνῳ. ὡς ὁ λόγος δείξει. ἐν γὰρ τῷ ἤπατι τὸ αἷμα τοῦ περὶ τομῇ καὶ με-

De odore panis & uini

Mali odor

Acetum

ἕλιξ capreoli

μυρρίν. myricarum

theodor

τονοῦν · firmare th

Que iunguntur quot modis iungantur

Melicratum

Oxycratum

Hydreleum

κρίκος ansa hostialis

αὐτοχήν

Quo modo coniunctionis animus coniungatur corpori

Animus immortalis secundum alexandrum

Sanguis in iecore cócogt & mutatur

Spiritus uaporis speciem gerens oritur in iecore

Vena cava

Carotides arteriæ = ut theo interpretatur ab aggrauatione ficmm cupatas

Spiritu cerebri spiritu celestis quo anim⁹ instrumento utitur aptissimo actionum suarū. hunc animale spiritū paulo post uocat. & an sit corporeu⁹ an incorporeu⁹

τεβαλλομένου ὑπὸ τῆς αὐτοῦ θερμότητος τοῦ ὑγροῦ τητος, γίνεται πνεῦμα ἀτμοειδές· ὃ δὴ καὶ φλεβὸς αὐτὸν μετὰ τοῦ αἵματος τοῦ πρὸς καρδίαν, ἐνταῦθα μάλιστα θερμαινόμενον καὶ λεπτυνόμενον, γίνεται ἀφροειδές· καὶ πάλιν ἀναπεμπόμενον διὰ τῶν καρωτίδων ἀρτηριῶν πρὸς τὸν βάσιν τοῦ ἐγκεφάλου, κατὰ τὴν ὁμοίαν αὐτοῦ φύσιν, ἐκεῖσε τοῦ διαγωγοῦμενον κατὰ τὴν ὁμοιότητα τοῦ ἴνα φυσικῶν ὑπὸ τοῦ ἐγκεφάλου χρότητος ἀπόβαλλον τὸν ἀέριον ζέσιν, γίνεται πνεῦμα αἰθεροειδές· ὃ περ ὀργανικὸν ὂν ψυχῆς πρόσεστιν ἔργων· ὥσπερ ἄγριος ἵππος ὑπὸ χαλινοῦ σωφρονιζόμενος, οὕτω καὶ τοῦ χαλιναγωγοῦμενον ὑπὸ τινος ἀρχικῆς φυσικῆς δυνάμεως· ἔτι μὴν καὶ θερμαίνει καὶ ψύχει καὶ ξηραίνει καὶ ὑγραίνει· ἔστι γὰρ ἐν τῇ καρδίᾳ λεπτυνόμενον καὶ αἰῶνα διὰ τῶν ἀρτηριῶν πρόσεγκέφαλον. καὶ τὸ ζῷον ἀναθέρμανσις τοῦ αἰῶνος καὶ ψύξις· ὅπερ ἐμοὶ δοκεῖ καὶ τοῦ σώματος τοῦ ζῴου, προσωκειῶσθαι τῷ σώματι· εἰδέναι πότατον καὶ καθαρώτερον καὶ διαυγέστατον, φιλίστατον, ψυχῆς λογικῆς σῶμα ἀσώματον πάντως ὑπάρχον θεοῦ ἔμμεσος τυγχάνον τῶν ἄκρων, ἐναντίαν οὐσίαν ἔχόντων· τοῦτο τὸ πνεῦμα καλῶ μοι, ὑγιαθοῦν, διάδοσιν ψυχῆς πάντα τὰ λόγου φορεῖν· ἀμέσως δὲ ψυχὸν μὲν καὶ τὸ λυμὸν ἡ τοῦ χυμοῦ, καὶ αἰῶνα τὸν θερμὸν καὶ ξηρόν· ἔστι γὰρ ψυχῆς, πρῶτος τόπος πρὸς ἀρετὴν ἀναθερμαίνων καὶ ξηραίνων· ἀμέσως δὲ τὰ ἡ ψυχὴ ἐν τῷ σώματι ἐνεργεῖ· ζῷον μὲν ψυχῆς, πρῶτος τόπος πρὸς ἀρετὴν

λογικῶν ζῴων

θείου

Homo microcosmus

θείου καὶ πεκλείφθω σῶμα τὸ πνεῦμα, σοφίζεται τὸ καθόλου· ἓν μὲν τι κατασκευῆς χώματι· αὐτὸ μὲν γὰρ τὸ κεφαλὴ σφαιροειδὲς ἐστὶ τὸ σῶμα· καθάπερ μικρὸς οὐρανὸν τὸν δὲ ἐγκέφαλον, λαμπρὸν καὶ ἀπειροπόρατον, δεδώκασι τῷ ὀργανικῷ μέρει ἀστέρων τὰ ἀειθαλῆ δακτυλίους· ὑπερέχειν τοῦ σώματος· καὶ γὰρ ὁ οὐρανὸς, ὑπερέχει πάντα τὰ γινόμενα καὶ φθορᾶς.

Animalia quedā pauciora rere plura quedam pauciora

Que breuioris sunt nitę ea fecundiora esse & e contrario & cur id fiat

ξη'. Διὰ τί τῶν ζώων, τὰ μὲν, πολύτοκα τίκτει· τὰ δὲ, ὀλίγα· φημὶ ὅσα μὲν ἡ φύσις ὀλιγοχρόνια τίκτει, ταῦτα πεποίηκε πολύτοκα· καὶ δὲ τὰ πολυχρόνια τῶν τικτομένων, ὀλιγοχρόνιον τὴν τικτούσαν ἀναπληρώσασι· ὡς χοίρους· κύων· ὄρνιθος· ἰχθῦς· ὅσα δὲ πολυχρόνια, ταῦτα ὀλιγοτόκα· ἱκανὴ γὰρ ὁ χρόνος ἀναπληρῶσαι τὸν ἀεὶ τῶν τικτομένων· ὡς ἐλέφας· ὄφις κορώνη· τὰ δὲ μέσα πρὸς χρόνον, μέσα καὶ τὸν τόκον τὴν τάξιν· καθ' ὁμοιότητα δὲ τῶν ζώων, καὶ τὰ ἀνθρώπινα τίκτομενα· ὀλιγοχρόνιον μὲν γὰρ δὴ μητρὸς κύησις πρὸς ὀλιγοχρόνιον ὤν, πολύπορον δέ· τὰ δὲ φυτὰ πολυχρόνια, ὀλίγα καρπούται· πρὸς δὲ τὰ τίκτομενα καὶ τὸ πλῆθος τῶν μεσῶν διατείνουσι· ἡ φύσις· τοῖς μὲν οὖν τετράποσιν, ἅτε ἐν μέσῃ οὖσι τῷ σώματι, καὶ κατὰ τὴν τῶν ἀρειάνων μέσων μήκους καὶ μυοῦσιν, ἐντὸς τὰ φλεβοφορεῖσθαι· τοῖς δὲ πτηνοῖς καὶ δι' ἀπὸ βραχὺ τοῦ σώματος, καὶ διὰ ἔρος τρεῖς διὰ τῶν τροφῶν ἁπλᾶ μέσοις διὰ τὸ κάμπτειν, ἔξω τούτων κυρτοῦσθαι τὰ νοσηρίας.

Cur certo ordine febrium accessiones ueniant

ξθ'. Διὰ τί τῶν τύπων ἡ τακτὸς ἡ κίνησις τῶν πυρεξυσμῶν· ὅτι τοσοῦτον ἐστὶ φύσις τοῦ νοσηρίου χυμοῦ, ὅσον δίωσαι καὶ πέψαι· ἐπειδὴ τοίνυν ὥρισται ὁ πεπτὸς χυμὸς καὶ δίωσαι μισοβαναύσης καὶ ὀχόνος· ἕκαστος δὲ χυμὸς ἔχει δίαν ἀναθυμίασιν· ἀπὸ μὲν γὰρ τοῦ αἵματος, ἀτμὸς γίνεται ὑγρὸς ὢν καὶ θερμός· ὥσπερ καὶ ἐν λεβήτων θερμοῦ ὕδωρ ἐχόντων ἐν τῷ πυρὶ ἐστὶ ἀτμός· ἐν δὲ λανείοις ἐν τῇ ὀροφῇ καὶ νέφος ἀεί· πάχος· ὅπερ τὸ νύμφαιον ὕδωρ πάλιν γίνε

Quam exhalationē habeat & uaporē ghbet humor · pulchru

λιγνύς fuligo

ἀφάλη fasilla

πεως. ἀπὸ δὲ φλεγματώδους χολῆς λιγνύς, θερμῆς οὔσης καὶ ξηρᾶς. καθάπερ καὶ ἐπὶ τῶν ξύλων καὶ ὁμμάτων λιγνύς. ἀπὸ δὲ φλέγματος χολῆς, αἰθάλη. καθάπερ ἐπὶ τῶν ξύλων καὶ φύλλων καὶ τῶν τοιούτων ξηρὰ μᾶλλον οὖσα. ἀπὸ δὲ φλέγματος, καὶ πυὸς καθάπερ ἐπὶ τῶν ξύλων λιπαρῶν καὶ ὁμμάτων, ὑγρότητος καὶ παχύτητος καὶ δακρυώδους οὐσίας μετέχων. ἔχει δὲ καθόλου μὲν ἐπὶ τῶν ὑγροῦ, τὴν αὐτὴν οὐσίαν τοῦ γονήσαντος, τὸ γονώμμον.

Mel inueteratú aut supra modú coctú amarú euadit

ὁ. Διὰ τί τὸ μέλι παλαιούμενον ἢ ὑπερεψόμενον πικρὸν γίνεται. ὅτι ἀπόλυσιν αὐτοῦ τῆς ὑγρότητος ἢ τῆς κατὰ τὴν κατεργασίαν τοῦ ἀπεπτοῦ θερμότητος. τοῦτο δὲ πάσχει καὶ πᾶν ὑγρὸν γλυκείας μετέχον ποιότητος, ὥσπερ οἶνος, καὶ σίραιον. ὅταν τοῦ χρόνου καὶ παχύνοντος καὶ μαραίνοντος. ὥσπερ δὲ οἶνος ὅταν τι ξαμῆρὸς, ἔχων αὐθος τὸ λεπτὸν πολλάζον, καὶ φύτατον ὄν, καὶ τρυγᾶται φιλοῦσαν παχεῖαν οὖσαν, καὶ τὴν ὑγρότητα τὴν τοῦ χρόνου πανομμένου, καὶ αὐτὸ τὸ οἰνῶδες καὶ εὔοσμον, τὸν αὐτὸν τρόπον καὶ τὸ μέλι. τοῦτο δὲ τὸ ἐναπολειφθὲν ὑγρὸν περίττωμα, μετέχει τὴν θρυπτικὴν δυνάμεως. ὅταν ὠμὸν μὲν ᾖ, ξύπνιον. ἐψόμενον δὲ, πρέφειν μόνον δοκεῖ ἀναλίσκεσθαι ὑπὸ τοῦ πυρὸς τὸ περιττὸν τοῦτο αὐτοῦ δοκεῖ. τὸ μὲν τοι ἐλαιώδη πᾶν λαιοῦμενον, πάχυνσιν ὑπομένει. ὡς βούτυρον. ὕσωπος. ἔλαιον. λίπος. ἑκάστη δὲ τριότης, ἐκ κρᾶσεως καὶ τριότητος ὅτιν ἰδίας. ἡ μὲν γλυκύτης, ἐκθερμότητος πλείονος καὶ ξηρότητος. ἡδὲ δριμύτης, ἐκθερμότητος πλείονος καὶ ξηρότητος. ἡδὲ ἁλμυρότης, ἐκξηρότητος πλείονος καὶ ψυχρότητος ὀλίγης. ἡδὲ ὀξώδης, ἐκψυχρότητος πλείονος καὶ ὑγρότητος. ἡδὲ στυφνότης ἐκξηρότητος ὀλίγης καὶ πλείονος ψυχρότητος. ἡδὲ αὐστηρότης, ὀλίγη τις ταμμένης πλείονος ξηρότητος καὶ ψυχρότητος. ἡδὲ πικρότης, ἐκξηρότητος πλείονος καὶ θερμότητος. τὸ δὲ λιπῶδες, ὀλίγης ὑγρότητος

Mel inueteratú aut supra modú coctú amarú euadit

οἱ ἐφ\ theodor) uertit defrutum

Quadripartita esse uinú & mel

Ταῦρον rancidítatē

Butyrú

Ὑσσωπος

λίπος adeps

De Saporibus unde unusq; ſ: cōpoſitꝰ ſit

οἱ ἐφόμμοι

ἐφόμμοι οἱ πάντα ὁρῶσιν ὅτι ἐκ τοῦ πολλοῦ οἴνου, πλείων αὐτοῖς ἀναθυμίασις γίνεται ἀτμώδους πνεύματος πρὸς ἐγκέφαλον. τοῦτο δὲ μηδὲν ἁμαρτάνομεν διαφορηθῆναι πρὸ πέψεως ἀπὸ τοῦ χόμου, φυγεῖν μὴ ἔχον, τὸν ἐγκέφαλ' πιεζόμενον πάντα, καὶ οὕτως τεταραγμένος ὀξίνεσι διὰ τοῦ ὀπτικοῦ μύρου καὶ φλιόρεσιν τὰ ὁρατά· καὶ τοιαῦτα αὐτοῖς φαίνεται πάντα. τὸ γὰρ ὑπὸ πάθος ἔξω φαντάζονται. ὅθεν καὶ ἱλιγγιῶσι. τοῦτο δὲ γίνεται ἀπὸ τῆς ἔξωθεν ἱλιγγοποιοῦ ὑπὸ τῶν ἐμφυσωμένων ξέμμον τὸ ὄνομα. ὅσπερ δὲ ἐξ οἴνου γίνεται, τοῦτο καὶ ἀπὸ χυμῶν, ἀτμὸν πολὺν γεννώντων καὶ πληροῦντων τὸν ἐγκέφαλον. καὶ πιούμενον τὸ σκοτωματικὸν λεγόμενον πάθος.

οἱ. Διὰ τί εἰ ταὐτὸν ἦν περίττωμα κεφάλου καὶ νωτίου μυελοῦ πέμπειν τὸ μυελοῖς, οὐχ αὐτὴν ἐνέργειαν ἀλλὰ διάφορον. ὅτι οὐ μόνον περὶ τὸν ἄνθρωπον μυελοῦται ἡ ἔνδεια. ἀλλὰ καὶ περὶ τὰ τετράποδα καὶ ὄφεις καὶ ἰχθῦς. ἄλλη γὰρ καὶ σκληρὰ καὶ ἀδρὰ πλησίον τὸν νωτιαίου καὶ ἄλλη τοῦ ἀκουστικοῦ. ἑτέρα δὲ τοῦ γευστικοῦ καὶ ἄλλη τοῦ σώματος φλοιλίας καὶ ὑγρὰ ἄλλων ὁμοίως. τὸ μὲν γὰρ ὀπτικὸν τέτρηται ὑδρον. τὸ δὲ ἀκουστικὸν ὀξὺ πλῶτον μᾶλλον. πλέον δ' ἔστι τὸ γευστικόν. τὸ δὲ τοῦ σώματος φλοιλίας πιεζεῖται μᾶλλον. τὸ δὲ φλοιλίας ὀξὺ πλῶται σφαιροειδῶς. οὕτω γὰρ καὶ ἐπὶ κιθάρας. ἡ μὲν παχυτέρα μύρα μᾶλλον φθόγγον ἀποτελεῖ. ἡδὲ ἰσχυροτέρα, ἕτερον. καὶ ἔστι ταμμύνα μᾶλλον ἕτερον. καὶ ἡ αἴνει μὴ τοσῶς, ἄλλον. καὶ ἐπὶ τῶν λοιπῶν δὲ ὀργάνων τὸ αὐτὸ θεωρήσεις. ὅπως τοῦτο καὶ πλῶθ', ἡ στοιβοφδὴς σαρξ ἡ καὶ πεφύγμα, λεγόμμον. ἐπὶ δὲ μεφῶν καὶ καρδίας, σαρκὸς τῆς ἰδιότητος. ἐπὶ δὲ σομάχου, αἱ μὲν ὀρθαὶ ἴνες ἕλκυσιν. αἱ δὲ πλάγιαι ὠθοῦσιν. ἐπὶ δὲ ἄλλων μορίων αἱ λοξαὶ κατὰ χεῖρα ἐπὶ μὲν τῆς κύστεως καὶ μήτρας καὶ αἱ μὲν φλέβες, καὶ ἀρτηρίαι καὶ οἱ νεῦροι ἐπὶ τῶν καθ' ὑμᾶς

□ ἄλλον

Cur omnia nimis ebrijs circumuerti uidéatur

Neruus opticus

ἱλιγγιᾶν qd & unde σκοτωματιᾶν

σκοτωματικὸν πάθος

Nerui a Cerebro & dorſi medulla in oēs corporis partes trās mittuntur.

καλαμοειδὴ structura

Variam neruorú ſtructuram attende

Iecoris & lienis carnoſa ſtoiβοφδὴς. i. criſpa & tortitia

πρέγμα. i. humoracea.

Ἴνες fila theo.

εἰ οὐχ εἰς λόγον ἐπέχουσι κοινὰ ὄντα καὶ ὧν πάντων μέτεσκόμεθα· τὸ δεῖδιον καὶ ἀκοινώνητον ὄντος ὃ[ς] τοῖς εἰκῆ φωσὶ τὸ ὀγ· νόρ γλαν.

Διὰ τί αἱ κυοφοροῦσαι πικρὰ δίψωσι μᾶλλον καὶ ξίνον μιλῶν καὶ πᾶσιν· ὅτι ἡ φύσις δι' ἀπορίαν τοῦ ἐμβρύου διὰ πάλαισιν, τὸ κατὰ μικρὸν συναύξει πᾶν ἐν τῇ μήτρᾳ· τοῦτο δ' ἂν ὑγρεθῇ πρῶτον καὶ κακὸν χυμὸν καὶ τὰ ἀνάδοσιν πᾶσι εἴων, πλησῖ τὸ σῶμα φλεγμονῆς· τοῦτο δὲ κινούμενον ὑπὸ μοχθηρᾶς ποιότητος, ἐπὶ σείρεται πρὸς ὄρεξιν ἀλλοκότων ξοφῶν· ὑπὸ θυμοῦσι δὲ πρὸς τὸ νῦν πεκείμενον χυμόν· εἰ μὲν γὰρ εἴη μελαγχολικὸς εἰ οὕτως ἔτυχεν, ὀρέγονται ὀσβόλης ἢ ὄξους ἀκων· εἰ δὲ φλέγμα ὀξύ, πᾶν ὀξωδῶν· εἰ δὲ λεκιν θώδης χολή, πᾶν κρισωδῶν· εἰ δὲ μίξις τίς εἴη τρικίλη, ἀλλοκότων ὀρέξεων· ὅτι δὲ τοῦτο τὸ ἀληθὲς ὑπάρχει, δῆλον ἐκ τοῦ μὴ πάσαις τοῦ ρ γίνεσθαι, αἷς τὸ σῶμα ξηρὸν μᾶλλον καὶ χρηστόν ἐστι καὶ ἀπέλεπτον· μετὰ δὲ ξίμιλων πεύτεσι κίπα, τῷ λοιπὸν πλαθῆναι καὶ παυσαλίσκειν τὸ πλεονάζον αἷμα τοῦ, καὶ μηκέτι ἀναπέμπειν πρὸς τὸ σῶμα χυμόν· τοῦτο πάρχουσι καί τινες βουλιμιῶντες καὶ κολικὸν μὲν οἱ τῷ πάλιν πλησθῆναι τὸ σῶμα φλεγμονῆς χρὸς ἀλλοκότου χυμῶν· ὅθεν τὸ καθαρτήριον αὐτοὺς μετέλως ὠφελεῖ· εἰρηται δὲ κίπα ἀπὸ τοῦ ὀρνέου τοῦ ἀεὶ βόλλῃ κατεσθίοντος· ἢ ὅτι ποικίλον ὄντος τῷ χρώματι καὶ ἀλλόκοτον ὡς πρὸς τοὺς τῶν ὠθυμίας.

οδ'. Διὰ τί τὸ φθινόπωρον ἀνώμαλον καὶ τὰ τῶν ῥάσιν· ἔχον καὶ τὰ τῶν αὐτῶν μοῦ καὶ δάλπος καὶ κρύος· τινὲς δ' φασὶ φύσιν ἔχειν τοιαύτην αὐτὸ ἀρρηκτον μοχθηρὰν· τινὲς δ' ἐπ' φυσικῶς· ὅτι ὁ ἥλιος τὰ τῶν ζώων κινούμενος τροχὸς καὶ τῶν γῆν ὑπ' αὐτῷ ξέπει· ἄλλοις δ' ὅτι ξηρὸν καιρὸν ποιεῖ τὸν αὔτεμοι τοιοῦτοι πνέουσιν, ἀνώμαλοι καὶ διάφοροι· οἱ δὲ, ὅτι ἡ γῆ ὑπερκαεῖσα ὑπὸ τῆς ἀμίτρου θερμότητος τοῦ θέρους, εἰς ὑγρὸν τὴν μετέβαλεν· ὁ τοιοῦτος τὸν ὥραν ἀναπέμπει, τὸ ἀέρος ἐπὶ θερμοτέ

χι πᾶσιν gustare ali qd improbe appetunt theodo addit quapropter piare tantisper dicunt a pica que terre glebas suauiter esitat qd in fine problematis inuenies

Natura sanguine omne menstruu colligit in matrice necessarie foetj afformationis gratia

ἀνάδοσιν ξὴν ἀγλῶν

χυμῶν pinguia

σόμαχος ὁ ς uocat stomachu

χολιχοβόμβοι morbo maioris intestini laborantes

χίπα affectus unde dictus sit.

(ur autumn) meglis fit & eodé duo habet frigus & caloré

θερμοτέρου μὲν τὸ ὁ δὲ λέγοντες ὅτι μέσον ὂν θέρους καὶ μῶν τῆς τῶν ὡρῶν μετέχει κράσεως, ψύχους τε ἅμα καὶ θέρους· ἀρτίως ἐπεσκεψάμεθα ὅτι τὸ μὲν χθήμερον μικρὸν μετέχει τῶν ὡρῶν κράσεων· τὸ μὲν γὰρ ὑπὸ τῶν ἐώ μέρος αὐτῆς, ἔοικε τῷ ἔαρι· ἥδε μεσημβρία, θέρει· τὸ δὲ μετὰ τοῦτο ἄχρι ἑσπέρας, φθινοπώρῳ· ἡ δὲ νὺξ, χειμῶνι· ψυχρὰ μὲν ὑγρὰ δὲ τῇ ἀπουσίᾳ τοῦ ἡλίου

οε'. Διὰ τί ὁ κόπρος πρίει ὕδωρ, εἴτε ὁ κόπρος ξηρὸν ἅμα τὸ σῶμα· ἢ δὲ ξηρότης ἀγρυπνίαν πρίει· φαμὲν ὅτι οὐκ ἐν ὑγρῷ κόπρος ὑπάρχει πρίειν· ἀλλὰ δι' ἀμέσου τινός· λέγω δὲ τῆς ψυχρότητος τῆς ὑγρότητος· ὁ δὲ κόπρος κυρίως ξηρότητα πρίει· ἡ δὲ τῆς ὑγρότητος ἀπώλεια, καθάπερ θερμότητος ἀπώλεια ξοφῆς· καθάπερ ἕξις ἢ θερμότητος, οὕτω ξηρότητος· ἡ δὲ φύσις τῆς κατασκευῆς τῆς ὑγροῦ ξοφῆς, ἀποζωτικὸν πνεῦμα ἐστι, ἀναπεμπόμενον πρὸς τὸ πάλιν ος· σωθῆναι τὴν ἀπολομένην ὑγρότητα. Διὰ τί κίων ἢ ἕτερόν τι βαρὸς ἐμβαπτόμενον εἰς ὕδωρ, βυθίζεται· ἐὰν δὲ πολὺ μᾶλλον, ἔτι μᾶλλον· ἐὰν δὲ πλοῖον φήμι ὅτι μετὰ πολλῆς ἀμίνεται χώρας ὁ ἀὴρ καὶ τὴν φορτίδα εἰσδυόμενος εἰς τοὺς πόρους τοῦ ξύλου, ὥστε μὴ χεῖσθαι πρὸς τὰ τοιαῦτα εἰς βάρος ἔχουσιν ὑπὲρ ὕδωρ· ὁμοίως τοι κίων ἢ ὁσίδηρος πυκνοτέρους ὢν τοὺς πόρους τοῦ βαρυτέρου, ἐκ ὑπὲρ ὕδωρ, τῷ μὴ ὑπὸ δέχεσθαι πολὺ μᾶλλον τῶν ὑδάτων εἰς αὐτὸν ἐμβαίνειν· ἀπολλύμενοι δὲ αὐτὸν βυθίζουσι· μετὰ δὲ ἡμέρας τινὰς, ἀναπλέουσιν· ὑπὸ γὰρ τῶν ὑπὸ τὸ σῶμα πνεῦμα γίνεται· τοῦτο δὲ πλήρωμα τοὺς πόρους, ἡ τὸ τῶν πνεύμονος βρόγχια, κἄφρονα ἀπεργάζεται τὸ σῶμα πρὸς τὸ ἀναπλεῖν· ὅθεν ἐστὶ σοφὸν σίτημα κεχθάλασσαν κακῶς ῥέγνυσθαι τοῦ γοητεύσκοντος, μετὰ φόνον ἀναιρεῖν τὸν τοῦτο, λέγεται αὐτῶν τὸν πνεύμονα· οὕτω εἰ πλήρη εἰς τοῦ ὕδωρ πρὸς τὸ μὴ ἀναπλεῖν· ἐλαυθάνει δὲ τοῦτο· ἐὰν πεθῇ τῶν εἰς ὕδωρ βαμόμενα, βυθίζεται· τὰ δὲ φανιθέντα ἐξουσιάσαντα, ὑπὲρ ἕτερα τῶν τὸν ὑγρὸν ὕδατος ὑπερέχειν καὶ ἐμπνεῖν μετὰ τῶν ἀέρα.

Dici & noctis spatiú quatuor annitempora imitari.

νυχθήμερον

Lassitudo cur creet somnú. cú hec desi creet

Notandú hoc

ἐξ ουσιάσαντα. 1. urina ouia

Notandú in fine huius opis. in theodori traductioé multa alia problemata inueniri que hic desiderantur. /

Τέλος

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΜΗΧΑΝΙΚΑ.

ΘΑΥμάζεται τῶν μὴ κατὰ φύσιν συμβαινόντων, ὅσων αἴτιον· τῶν δὲ παρὰ φύσιν, ὅσα γίνεται διὰ τέχνην πρὸς τὸ συμφέρον ἡμῖν ἀνθρώποις. ἐν πολλοῖς γὰρ ἡ φύσις ὑπεναντίον πρὸς τὸ χρήσιμον ἡμῖν ποιεῖ· ἡμῖν ⸗ φύσις, ἀεὶ τὸν αὐτὸν ἔχει ξόπον, καὶ ἁπλῆ· τὸ δὲ χρήσιμον μεταβάλλοντα πολλαχῆς· ὅτ' οὖν δέῃ τι παρὰ φύσιν πράξαι, διὰ τὸ χαλεπὸν, ἀπορίαν παρέχει· δεῖται τέχνης· διὸ καλοῦμεν τὴν τέχνην τὸ πρὸς τοὺς τοιούτους ἀπορίας βοηθοῦν μέρος μηχανῆς· καθάπερ γάρ εἴρηκεν Ἀντιφῶν ὁ ποιητὴς, οὕτω καὶ ἔχει· τὴν γὰρ κρατοῦσαν μηχανῶν φύσει μιμούμεθα· τοιαῦτα δ' ἐστίν, ἐν οἷς τὸ τὲ λάττονα κρατεῖ τῶν μειζόνων, καὶ τὰ ξοστὴν ἔχοντα μικρὰν, κινεῖ βάρη μεγάλα· καὶ πάντα τὰ σχῆμα ὅσα τῶν προβλημάτων μηχανικὰ προσαγορεύομεν. ὅτι δὲ παῦτα τοῖς φυσικοῖς προβλήμασιν, οὔτε ταυτὰ πάμπαν οὔτε κεχωρισμένα λίαν· ἀλλὰ κοινὰ τῆς μαθηματικῆς, θεωρημάτων καὶ τῶν φυσικῶν· τὸ μὲν γὰρ ὡς, διὰ τῶν μαθηματικῶν δῆλον· τὸ δὲ περὶ ὁ, διὰ τῶν φυσικῶν· περιέχεται δὲ τῶν ἀπορουμένων ἐν τῷ μείζονι τούτῳ τὸ περὶ τὸν μοχλόν· ἄτοπον γὰρ εἶναι δοκεῖ τὸ κινεῖσθαι μέγα βάρος ὑπὸ μικροῦ ἰσχύος, ἢ ταῦτα μεταβάρος πλείονος· ὁ γὰρ αὐτὸς μοχλοῦ κίνησις δύναται τοῦτο, τοῦτο αὐτὸ τὸ βάρος πρὸς λαβὼν ἕτερον τὸ τοῦ μοχλοῦ βάρος, κινεῖ θᾶττον· πάντων δὲ τῶν τοιούτων ἔχει τὴν αἰτίας τὴν ἀρχικὸν κύκλος· καὶ τοῦτο συμβέβηκεν·

Pulchrũ

Natura semp eundẽ seruat modũ

μηχανή quid

Antiphõ poeta

Τέχνη κρατοῦμεν ὧν φύσει νικώμεθα

Adverte

ἐκ μὲν γὰρ θαυμασίων τῶν συμβαινόντων θαυμασιον, ἐὰν μὴ ὁ τοπος θαυμασίων ᾖ τῶν τοιούτων· ὑπὸ γὰρ κινουμένου μὲν τοῦ κύκλου φαίνεται καὶ μένουσα, ὧν ἡ φύσις ἐστὶν ὑπεναντία ἀλλήλοις· ὡς τε τῶν θαυμάτων ἐστὶ βλέψασιν ἡμῖν θαυμάζειν τὸ συμβαῖνον ὑπεναντίως πρὸς αὐτόν. πρῶτον μὲν γὰρ ἡ πεπερασμένη γραμμὴ τὸν κύκλον τέμνει οὐθὲν ἐλάττους οὐθὲν ἐλάττους τῶν ἀπείρων· καὶ τὸ κυρτὸν τοῦ κύκλου ἐφάπτεται τῆς κοίλης καὶ τὸ κυρτὸν· ταῦτα γὰρ ἔδειξεν ἀλλήλοις ἐφαπτόμενα τὸ μικρὸν ἐκείνων τι γὰρ μέσον τὸ ἴσον, καὶ τούτων τὸ εὐθύ. ἀλλὰ μὴν ἐφάπτεσθαι μὲν ἀλλήλων ἐστὶ τὰ μὴ ἀναγκαῖα ἴσα γίνεσθαι πρότερον, ἢ τῶν ἄκρων ὁρᾶν τὸ τρῶον, πλὴν ἡ γραμμὴ ὑπόθεσιν ὅταν ἐκκυρτῆς εἰς κοῖλον, ἢ πάλιν ἐκ ταύτης εἰς κυρτὴν πεσεῖται· φορὰν δὲ μὴ οὖν τοῦ τοῦ πρώτου ἀρχὴν ὑπάρχειν τὴν κύκλου· διὸ τί ποτε ἄμα κινεῖται ταῖς ἐναντίαις κινήσεσιν· ἅμα γὰρ εἰς τὸν ἐμπροσθεν κινεῖται τόπον ἡ γὰρ ὅπισθεν· ἢ τε γραφοῦσα γραμμὴ τὸν κύκλον ὡσαύτως ἔχει· ἐξ ἧς δ' ἄρχεται τοῦ τόπου, τὸ πέρας αὐτῆς εἶναι τοῦτον ἔρχεται πάλιν· συνεχῶς δὲ κινουμένης αὐτῆς, τὸ ἔσχατον πάλιν ἀπῆλθε πρῶτον· ὥστε φανερὸν ὅτι μετέβαλεν ἐν τῷ τόπῳ· διὸ καθάπερ εἰρηται πρότερον οὐδὲν ἅπτεται, τὸ πάντων εἶναι τῶν θαυμάτων αὐτῶν ἀρχή· τὰ μὲν γὰρ περὶ τὸ ζυγὸν τὸ ὄνομα, εἰσὶ κύκλῳ αὐάγεται· τὰ δὲ περὶ τὸ μοχλὸν εἰς τὸν ζυγόν· τὰ δ' ἄλλα πάντα ἕως τὰ περὶ τὴν κινοῦσαν μηχανικά, εἰς τὸν μοχλόν· ἔτι δὲ διὰ τὸ μιᾶς ὄντος φλέκτου κέντρου γραμμὴν μηθὲν ἕτερον ἑτέρῳ φέρεσθαι τοσοῦτον μείων τὸ ἐναντίον ἴσον τοσοῦτον χώρις, ἀλλ' εἰ τὸ τοῦ ὁμοίου πρότερα τοῦ πρῶτον, πολλὰ θαυμάζομεν συμβαίνοντα περὶ κινήσεις τὸν κύκλον, περὶ ὧν ἐν τοῖς ἐπομένοις προβλήμασιν ἐροῦμεν· διὰ τὸ τὰς ἐναντίας κινήσεις ἅμα κινεῖσθαι τὸν κύκλον, τὸ μὲν ἕτερον φλέγμα μένει τὸ α· εἰς τοῦ μὲν πρόσθεν κινεῖται, ἅπτεται δὲ ἑφοῦ τὸ β· εἰς τοῦ μὲν ὄπισθεν κατασκευάζουσι τὴν ὥστε ἀπὸ μιᾶς κινήσεως πολλὰς ἅμα κινεῖσθαι κύκλους

ὥσπερ

ὥσπερ καὶ ἀναπτύξασιν ἐν τοῖς ἱεροῖς ποιήσαντες προχόσκους. χαλκοῦς τινὰ σίδηρος· ἡ δὲ ἑτέρα ἀπὸ μὲν ἑτέρου κύκλου ἐφάπτεται· τοῦ κύκλου ἐφ' ᾧ αβ· κινουμένης φλογὸς μέχρις ἂν προσθεν, κινηθήσεται ἡ γδ· εἰς τοῦ πίσθεν, τοῦ κύκλου τοῦ ἐφ' ᾧ ακ κινουμένης τὰ μέτρα πρὸς τὸ αὐτό, εἰ τὸν αὐτὸν ἀρακινηθήσεται ἐφ' ᾧ γδ· κύκλου· πάλιν αὐτὸς ὁμοίως ἐφεξῆς ἐφ' οὗ εζ· εἰς τοῦ ἀπὸ τῶν αὐτῶν αἰτίων· τὸ αὐτὸ γὰρ ἐστὶ καὶ ὁμοίως ἔχει τὸ μὲν ἐλάττους ὦσι, οὐ γοῦν ἡσυχίαν ἄγουσιν ἀλλὰ μόνας κινηθήσεται· ταῦτα δὲ πάλιν βούλεται ὑπάρχουσαν ἐν τῷ κύκλῳ τὴν φύσιν οἷον ἡ μιᾶς ὀργάνου κρύπτου τοῦ ἄρχειν, ὃ ἐν τῷ μηχανήματι φανερὸν μόνον θαυμαστὸν, τὸ δεῖ πρῶτον μὲν οὖν τὸ συμβαίνον περὶ τὴν ἀπορεῖται διὰ τίν' αἰτίαν ἀκριβέστερα τὸ ζυγὸν τὸ μεῖζον ἐλαττόν· τοῦτο δὲ ἄρχεται ποτὲ ἐν τῷ κύκλῳ, ἢ ὅλον ἀφεστηκὸς γραμμὴν τοκέν ξθ· φλέγμα, τὴν αὐτὴν ἰσχὺν κινουμένην, θᾶττον φέρεσθαι ἐλαττόν· τὸ δὲ θᾶττον λέγομεν· αὐτὸ δὲ ἐν ἐλαττόνι χρόνῳ ἴσον τόπον διεξελθεῖν, θᾶττον εἶναι λέγομεν· ἐὰν δὲ ἴσῳ, ὠκύτερον, ἢ δὲ μείζων ἐν ἴσῳ χρόνῳ γραφομένη μείζονα κύκλον· ὁ δὲ ἐκτὸς μείζων τοῦ ἐντὸς· ὁ αὐτὸν δὲ τούτων, ὅτι φέρεσθαι δύο φοραῖς ἡ γραφόμενα κύκλον· ὅταν μὲν δὴ ἐνυλόγως τινὶ φέρηται, ἐπευθείας ἀνάγκη φέρεσθαι τὸ φερόμενον, κἠπὶν ταῦτα μεταβάλῃ αὐτὴν τὴν ὁρμὴν ὁ ποιοῦσιν αἰεὶ τοῦτο πλὴν ὅταν εἰσὶν αἱ γραμμαὶ ἑξῆς· ὁλόγυον γὰρ ὁμφέρεται τὸ φερόμενον, οἷον ἔχει ἡ αβ· πρὸς τὴν αγ· ἡ τὸ μὲν αγ φερέσθω πρὸς τὸ δ· ἡ δὲ αβ· ὑπὸ φερέσθω πρὸς τὴν βγ· φημὶ ἔχω δὴ τὸ μὲν αγ πρὸς τὸ δ· ἡ δὲ φὴ αδ, πρὸς τὸ ε· ἐὰν δὲ ἐπὶ φορᾶς ὁ λόγος ᾖ, οὗ ἡ αδ ἔχει πρὸς τὴν αγ· ἀνάγκη τὴν αδ· πρὸς τὴν αε, τὸν αὐτὸν ἔχειν τὸν λόγον· ὁμοίως δὲ καὶ τῷ λόγῳ τὸ μικρὸν τὸ πρὸς τὸ ὅλον· ὥστε καὶ ἡ αὐτὴ δὴ ἀμφοτέρων ἡ τὸ δ ἔσται πρὸς τὸ ζ· τὸ μὲν αὐτὸ μὴ ξόπον δὴ φθάνει σὺν καὶ ὁ τοῦ φοραῖς, ἀνάγκη τῶν φερομένων φέρεσθαι λόγον, εἰ γὰρ ἄλλον τινὰ, ἐκ οἰαθήσεται ἡ τὸ

Velox dici dupliciter

καθετος

Maiora inga exactius inclinare de ponderibus &cæt

ἐπὶ τῆς μετὰ τῆς πλάστιγγος τριῶν ὁρᾶται τὸ μὲν τὸ αὐτὸ βάρος μέγεθος· ἔνια δὲ δῆλα μὲν ἀμφοῖν ἐστιν, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τῶν μειζόνων, διὰ τὸ πολλῷ μεῖζον γίνεσθαι τὸ μέγεθος τῆς ῥοπῆς ὑπὸ τοῦ αὐτοῦ βάρους ἐν τοῖς μείζοσι. καὶ διὰ τοῦτο τεχνάζουσιν οἱ ἁλουργοπῶλαι πρὸς τὸ παρακρούεσθαι ἱστάντες, τό τε σπαρτίον οὐκ ἐκ μέσου τιθέντες, καὶ μόλιβδον τῆς φάλαγγος εἰς θάτερον μέρος ἐγχέοντες, ἢ τοῦ ξύλου τὸ πρὸς τὴν ῥίζαν πρὸς ὃ βούλονται ἐκπεσεῖν ποιοῦντες, ἢ ἐὰν ἔχῃ ὄζον· βαρύτερον γὰρ ἐν ᾧ μέρει ἡ ῥίζα τοῦ ξύλου ἐστίν, ὁ δὲ ὄζος ῥίζα τίς ἐστι.

ἀλουργοπῶλαι

Διὰ τί, ἐὰν μὲν ἄνωθεν ᾖ τὸ σπαρτίον, ὅταν κάτωθεν ῥέψαντος ἀφέλῃ τὸ βάρος, πάλιν ἀναφέρεται τὸ ζυγόν· ἐὰν δὲ κάτωθεν ὑποστῇ, οὐκ ἀναφέρεται, ἀλλὰ μένει; ἢ διότι ἄνωθεν μὲν τοῦ σπαρτίου ὄντος, πλεῖον τοῦ ζυγοῦ γίνεται τὸ ἐπέκεινα τῆς καθέτου· τὸ γὰρ σπαρτίον ἐστὶ κάθετος· ὥστε ἀνάγκη ἐστὶ κάτω ῥέπειν τὸ πλέον, ἕως ἂν ἔλθῃ ἡ δίχα διαιροῦσα τὸ ζυγὸν ἐπὶ τὴν κάθετον αὐτήν, ἐπικειμένου τοῦ βάρους ἐν τῷ ἀνεσπασμένῳ μορίῳ τοῦ ζυγοῦ. ἔστω ζυγὸν ὀρθὸν ἐφ' οὗ ΒΓ, σπαρτίον δὲ τὸ ΑΔ. ἐκβαλλομένου δὴ τούτου κάτω κάθετος ἔσται ἐφ' ἧς ἡ ΑΔΜ. ἐὰν οὖν ἐπὶ τὸ Β ἡ ῥοπὴ ἐπιτεθῇ, τὸ μὲν Β οὗ τὸ Ε, τὸ δὲ Γ οὗ τὸ Ζ, ἔσται. ὥστε ἡ δίχα διαιροῦσα τὸ ζυγὸν πρῶτον μὲν ἦν ἡ ΔΜ τῆς καθέτου, ἐπικειμένης δὲ τῆς ῥοπῆς ἔσται ἡ ΔΘ· ὥστε τοῦ ζυγοῦ τοῦ ἐφ' ᾧ ΕΖ τὸ ἔξω τῆς καθέτου ἐφ' ἧς ΑΒ, τοῦ ἐν ᾧ ΘΠ, μεῖζον τοῦ ἡμίσεος. ἐὰν οὖν ἀφαιρεθῇ τὸ βάρος ἀπὸ τοῦ Ε, ἀνάγκη κάτω φέρεσθαι τὸ Ζ· ἔλαττον γάρ ἐστι τὸ Ε. ἐὰν μὲν οὖν ἄνω τὸ σπαρτίον ἔχῃ, πάλιν διὰ τοῦτο ἀναφέρεται τὸ ζυγόν. ἐὰν δὲ κάτωθεν ᾖ τὸ ὑποκείμενον, τοὐναντίον ποιεῖ· πλεῖον γὰρ γίνεται τοῦ ἡμίσεος τοῦ ζυγοῦ τὸ κάτω μέρος, ἢ ὡς ἡ κάθετος διαιρεῖ, ὥστε οὐκ ἀναφέρεται· κουφότερον γὰρ τὸ ἐπηρτημένον. ἔστω ζυγὸν τὸ ἐφ' ᾧ ΝΞ τὸ ὀρθόν, κάθετος δὲ ἡ ΚΛΜ. δίχα δὴ διαιρεῖται τὸ ΝΞ. ἐπιτεθέντος δὲ βάρους ἐπὶ τὸ Ν, ἔσται τὸ μὲν Ν οὗ τὸ Ο, τὸ δὲ Ξ οὗ τὸ Ρ, ἡ δὲ ΚΛ οὗ τὸ ΛΘ· ὥστε μεῖζόν ἐστι τὸ ΚΟ τοῦ ΛΡ τῷ ΘΚΛ. καὶ ἀφαιρεθέντος οὖν τοῦ βάρους ἀνάγκη μένειν· ἐπίκειται γὰρ ὥσπερ βάρος ἡ ὑπεροχὴ ἡ τοῦ ἡμίσεος τοῦ ἐν ᾧ τὸ Θ.

Διὰ τί κινοῦσι μεγάλα βάρη μικραὶ δυνάμεις μοχλῷ, ὥσπερ ἐλέχθη καὶ κατ' ἀρχάς, προσλαμ-

βάνοντι βάρος ἔτι τὸ τοῦ μοχλοῦ; ῥᾷον δὲ τὸ ἔλαττόν ἐστι κινῆσαι βάρος· ἔλαττον δέ ἐστιν ἄνευ τοῦ μοχλοῦ. ἢ ὅτι αἴτιόν ἐστιν ὁ μοχλός, ζυγὸν κάτωθεν ἔχον τὸ σπαρτίον καὶ εἰς ἄνισα διῃρημένον· τὸ γὰρ ὑπομόχλιόν ἐστι τὸ σπαρτίον· μένει γὰρ ἀμφότερα ταῦτα ὥσπερ τὸ κέντρον. ἐπεὶ δὲ θᾶττον ὑπὸ τοῦ ἴσου βάρους κινεῖται ἡ μείζων τῶν ἐκ τοῦ κέντρου, ἔστι δὲ τρία τὰ περὶ τὸν μοχλόν, τὸ μὲν ὑπομόχλιον, σπαρτίον καὶ κέντρον, δύο δὲ βάρη, ὅ τε κινῶν καὶ τὸ κινούμενον· ὃ οὖν τὸ κινούμενον βάρος πρὸς τὸ κινοῦν, τὸ μῆκος πρὸς τὸ μῆκος ἀντιπέπονθεν. αἰεὶ δὲ ὅσῳ ἂν μεῖζον ἀφεστήκῃ τοῦ ὑπομοχλίου, ῥᾷον κινήσει. αἰτία δέ ἐστιν ἡ προλεχθεῖσα, ὅτι ἡ πλεῖον ἀπέχουσα ἐκ τοῦ κέντρου μείζονα κύκλον γράφει· ὥστε ἀπὸ τῆς αὐτῆς ἰσχύος πλέον μεταστήσεται τὸ κινοῦν τὸ πλεῖον τοῦ ὑπομοχλίου ἀπέχον. ἔστω μοχλὸς ἐφ' οὗ ΑΒ, βάρος δὲ ἐφ' οὗ Γ, τὸ δὲ κινοῦν ἐφ' οὗ Δ, ὑπομόχλιον ἐφ' οὗ Ε, τὸ δὲ ἐφ' οὗ Δ κινῆσαν ἐφ' οὗ Η, κινούμενον δὲ τὸ ἐφ' οὗ Γ βάρος ἐφ' οὗ Κ.

ὑπομόχλιον
σπαρτίον
κέντρον

Διὰ τί οἱ μεσόνεοι μάλιστα τὴν ναῦν κινοῦσιν; ἢ διότι ἡ κώπη μοχλός ἐστιν· ὑπομόχλιον μὲν γὰρ ὁ σκαλμὸς γίνεται· μένει γὰρ δὴ τοῦτο· τὸ δὲ βάρος ἡ θάλαττα, ἣν ἀπωθεῖ ἡ κώπη· ὁ δὲ κινῶν τὸν μοχλὸν ὁ ναύτης ἐστίν. αἰεὶ δὲ πλέον βάρος κινεῖ, ὅσῳ ἂν πλέον ἀφεστήκῃ τοῦ ὑπομοχλίου ὁ κινῶν τὸ βάρος· μείζων γὰρ οὕτω γίνεται ἡ ἐκ τοῦ κέντρου· ὁ δὲ σκαλμὸς ὑπομόχλιον ὢν κέντρον ἐστίν. ἐν μέσῃ δὲ τῇ νηὶ πλεῖστον τῆς κώπης ἐντός ἐστι· καὶ γὰρ ἡ ναῦς ταύτῃ εὐρυτάτη ἐστίν, ὥστε πλέον ἐπ' ἀμφότερα ἐνδέχεσθαι μέρος τῆς κώπης ἑκατέρου τοίχου ἐντὸς εἶναι τῆς νεώς. κινεῖται μὲν οὖν ἡ ναῦς διὰ τὸ ἀπερειδομένης τῆς κώπης εἰς τὴν θάλατταν, τὸ ἄκρον τῆς κώπης τὸ ἐντὸς προϊέναι εἰς τὸ πρόσθεν, τὴν δὲ ναῦν προσδεδεμένην ᾗ ὁ σκαλμὸς προϊέναι ᾗ τὸ ἄκρον τῆς κώπης. ᾗ γὰρ πλείστην θάλατταν διαιρεῖ ἡ κώπη, ταύτῃ ἀνάγκη μάλιστα προωθεῖσθαι· πλείστην δὲ διαιρεῖ, ᾗ πλεῖστον μέρος ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης ἐστί. διὰ τοῦτο οἱ μεσόνεοι μάλιστα κινοῦσιν· ἐν μέσῃ γὰρ τῇ νηὶ τὸ ἀπὸ τοῦ σκαλμοῦ τῆς κώπης ἐντὸς πλεῖστόν ἐστιν.

μεσόνεοι

Διὰ τί τὸ πηδάλιον μικρὸν ὂν καὶ ἐπ' ἐσχάτῳ τῷ πλοίῳ τοσαύτην δύναμιν ἔχει, ὥστε ὑπὸ μικροῦ οἴακος, καὶ ἑνὸς ἀνθρώπου δυνάμεως, καὶ ταύτης ἠρεμαίας, μεγάλα κινεῖσθαι μεγέθη πλοίων; ἢ διότι καὶ τὸ πηδάλιον

De gubernaculi potentia

ὁ μοχλός· τὸ δὲ βάρος ἡ θάλασσα· ὁ δὲ κυβερνήτης ὁ κινῶν. οὐ κατὰ πλάτος δὲ λαμβάνει τὴν θάλασσαν ὥσπερ ἡ κώπη τὸ πηδάλιον· οὐ γὰρ εἰς τὸ πρόσθεν κινεῖ τὸ πλοῖον, ἀλλὰ κινούμενον κλίνει πλαγίως τὴν θάλατταν δεχόμενον. ἐπεὶ γὰρ τὸ βάρος ἦν ἡ θάλασσα, τοὐναντίον ἀπερειδόμενον κλίνει τὸ πλοῖον. τὸ γὰρ ὑπομόχλιον εἰς τοὐναντίον στρέφεται. ἡ θάλασσα δὲ ἐντός, εἰ δὲ ἐκεῖνο εἰς τὸ ἐκτός, τούτῳ δ' ἀκολουθεῖ τὸ πλοῖον διὰ τὸ συνδεδέσθαι. ἡ μὲν οὖν κώπη κατὰ πλάτος τὸ βάρος ὠθοῦσα καὶ ὑπ' ἐκείνου ἀντωθουμένη, εἰς τὸ εὐθὺ προάγει. τὸ δὲ πηδάλιον ὥσπερ κάθηται πλάγιον, τὴν εἰς τὸ πλάγιον ἢ δεῦρο ἢ ἐκεῖ ποιεῖ κίνησιν. ἐπ' ἄκρῳ δὲ καὶ οὐκ ἐν μέσῳ κεῖται, ὅτι ῥᾷστον τὸ κινούμενον κινῆσαι ἐπ' ἄκρου κινοῦντα. τάχιστα γὰρ φέρεται τὸ πρῶτον μέρος, διὰ τὸ ὥσπερ ἐν τοῖς φερομένοις ἐπὶ τέλει λήγειν τὴν φοράν, οὕτω καὶ τοῦ συνεχοῦς ἐπὶ τέλει ἀσθενεστάτη ἐστὶν ἡ φορά. ἡ δὲ ἀσθενεστάτη ῥᾳδία ἐκκρούειν. διά τε δὴ ταῦτα ἐν τῇ πρύμνῃ τὸ πηδάλιον ἐστί, καὶ ὅτι ἐνταῦθα μικρᾶς κινήσεως γινομένης, πολλῷ μεῖζον τὸ διάστημα ἐπὶ τῷ ἐσχάτῳ γίνεται, διὰ τὸ τὴν ἴσην γωνίαν ἐπὶ μείζονα καθῆσθαι, καὶ ὅσῳ ἂν μείζους ὦσιν αἱ περιέχουσαι. δῆλον δὲ ἐκ τούτου καὶ δι' ἣν αἰτίαν μᾶλλον προέρχεται εἰς τοὐναντίον τὸ πλοῖον ἢ ἡ τῆς κώπης πλάτη. τὸ αὐτὸ γὰρ μέγεθος, τῇ αὐτῇ ἰσχύϊ κινούμενον ἐν ἀέρι, πλέον ἢ ἐν τῷ ὕδατι πρόεισιν. ἔστω γὰρ ἡ ΑΒ κώπη, τὸ δὲ Γ ὁ σκαλμός, τὸ δὲ Α τὸ ἐν τῷ πλοίῳ ἡ ἀρχὴ τῆς κώπης, τὸ δὲ Β τὸ ἐν τῇ θαλάττῃ. εἰ δὴ τὸ Α, οὗ τὸ Δ μετακεκίνηται, τὸ Β οὐκ ἔσται οὗ τὸ Ε. ἴση γὰρ ἡ ΒΕ τῇ ΑΔ. ἴσον οὖν μετακεχωρηκὸς ἔσται. ἀλλ' ἦν ἔλαττον. ἔσται δὴ οὗ τὸ Ζ. ἡ τὸ Θ ἄρα τέμνει τὴν ΑΒ, καὶ οὐχ ᾗ τὸ Γ, ἀλλὰ κάτωθεν. ἐλάττων γὰρ ἡ ΒΖ τῆς ΑΔ, ὥστε καὶ ἡ ΘΖ τῆς ΔΘ. ὅμοια γὰρ τὰ τρίγωνα. μεθεστηκὸς δὲ ἔσται καὶ τὸ μέσον τὸ ἐφ' οὗ Γ. εἰς τοὐναντίον γὰρ τῷ ἐν τῇ θαλάττῃ ἄκρῳ τὸ Β μεταχωρεῖ, ᾗπερ τὸ ἐν πλοίῳ ἄκρον τὸ Α. μὴ ἐχώρει δὲ οὗ τὸ Δ. ὥστε μετακινηθήσεται τὸ πλοῖον, καὶ ἐκεῖ οὗ ἡ ἀρχὴ τῆς κώπης μεταφέρεται. τὸ δ' αὐτὸ καὶ τὸ πηδάλιον ποιεῖ, πλὴν ὅτι εἰς τὸ πρόσθεν οὐδὲν συμβάλλεται τῷ πλοίῳ, ὥσπερ ἐλέχθη ἐπάνω, ἀλλὰ μόνον τὴν πρύμναν εἰς τὸ πλάγιον ἀπωθεῖ ἔνθα ἢ ἔν-

Cadē magnitudo ab eisdē uiribus mota celerius in ~~aq~~ aere q̄m in aq̄ mouetur

θα

θα. εἰς τοὐναντίον γὰρ ἡ πρῷρα οὕτω νεύει. ᾗ μὲν δὴ τὸ πηδάλιον προσέζευκται, δεῖ οἷον τὸ τοῦ κινουμένου μέσον νοεῖν, καὶ ὥσπερ ὁ σκαλμὸς τῇ κώπῃ. τὸ δὲ μέσον ὑποχωρεῖ, ᾗ ὁ οἴαξ μετακινεῖται. ἐὰν μὲν εἴσω ἄγῃ, καὶ ἡ πρύμνα δεῦρο μεθέστηκεν. ἡ δὲ πρῷρα εἰς τοὐναντίον νεύει. ἐν τῷ αὐτῷ γὰρ ὄντος τοῦ πρῴρου τὸ πλοῖον μεθέστηκεν ὅλον.

Διὰ τί ὅσῳ ἂν ἡ κεραία ἀνωτέρα ᾖ, θᾶττον πλεῖ τὰ πλοῖα τῷ αὐτῷ ἱστίῳ καὶ τῷ αὐτῷ πνεύματι; ἢ διότι γίνεται ὁ μὲν ἱστὸς μοχλός, ὑπομόχλιον δὲ τὸ ἑδώλιον, ἐν ᾧ ἐμπέπηγεν. ὃ δὲ δεῖ κινεῖν βάρος, τὸ πλοῖον. τὸ δὲ κινοῦν, τὸ ἐν τῷ ἱστίῳ πνεῦμα. εἰ δὲ ὅσῳ ἂν πορρώτερον ᾖ τὸ ὑπομόχλιον, ῥᾷον κινεῖ καὶ θᾶττον ἡ αὐτὴ δύναμις τὸ αὐτὸ βάρος, καὶ ἡ κεραία ἀνωτέρω ἀγομένη καὶ τὸ ἱστίον πορρωτέρω ποιεῖ τοῦ ἑδωλίου ὑπομοχλίου ὄντος.

Si eodē uento & uelo moueatur nauis q̄nto altior antenna fuerit tāto celeriꝰ mouebitur nauis

Διὰ τί ὅταν ἐξ οὐρίας βούλωνται διαδραμεῖν μὴ οὐρίου τοῦ πνεύματος ὄντος, τὸ μὲν πρὸς τὸν κυβερνήτην τοῦ ἱστίου μέρος στέλλονται, τὸ δὲ πρὸς τὴν πρῷραν ποδιαῖον ποιησάμενοι ἐφιᾶσιν; ἢ διότι ἀντισπᾶν τὸ πηδάλιον πολλῷ μὲν ὄντι τῷ πνεύματι οὐ δύναται, ὀλίγῳ δέ, ὃ ὑποστέλλονται. προάγει μὲν οὖν τὸ πνεῦμα, εἰς οὔριον δὲ καθίστησι τὸ πηδάλιον ἀντισπῶν, καὶ μοχλεῦον τὴν θάλασσαν. ἅμα δὲ καὶ οἱ ναῦται μάχονται τῷ πνεύματι. ἀνακλίνουσι γὰρ εἰς τοὐναντίον ἑαυτούς.

ποδιαῖ

Διὰ τί τὰ στρογγύλα καὶ περιφερῆ τῶν σχημάτων εὐκινητότερα; τριχῶς δὲ ἐνδέχεται τὸν κύκλον κυλισθῆναι. ἢ γὰρ κατὰ τὴν ἁψῖδα συμμεταβάλλοντος τοῦ κέντρου, ὥσπερ ὁ τροχὸς ὁ τῆς ἁμάξης κυλίεται. ἢ περὶ τὸ κέντρον μόνον, ὥσπερ αἱ τροχιλέαι, τοῦ κέντρου μένοντος. ἢ παρὰ τὸ ἐπίπεδον, τοῦ κέντρου μένοντος, ὥσπερ ὁ κεραμεικὸς τροχὸς κυλινδεῖται. εἰ μὲν δὴ τάχιστα τὰ τοιαῦτα διά τε τὸ μικρῷ ἅπτεσθαι τοῦ ἐπιπέδου, ὥσπερ ὁ κύκλος κατὰ στιγμήν, καὶ διὰ τὸ μὴ προσκόπτειν. ἀφέστηκε γὰρ τῆς γῆς ἡ γωνία. καὶ ἔτι ᾧ ἂν ἀπαντήσῃ σώματι, πάλιν τούτου κατὰ μικρὸν ἅπτεται. εἰ δὲ εὐθύγραμμον ἦν, τῇ εὐθείᾳ ἐπὶ πολὺ ἥπτετο ἂν τοῦ ἐπιπέδου. ἔτι ᾗ ῥέπει τὸ βάρος, ταύτῃ κινεῖ ὁ κινῶν. ὅταν μὲν γὰρ πρὸς ὀρθὰς ᾖ τῷ ἐπιπέδῳ ἡ διάμετρος ἡ τοῦ κύκλου, τῷ ἐπιπέδῳ ἁπτομένου τοῦ κύκλου κατὰ στιγμὴν τοῦ ἐπιπέδου, ἴσον τὸ βάρος ἐπ' ἀμφότερα διαλαμβάνει ἡ διάμετρος. ὅταν δὲ κινεῖται, εὐθὺς

Cur rotunda & quæ circularē optimē figuram ~~[illegible]~~ mouean tur faciliꝰ

τροχιλαῖαι

πλέον ἐφ' ὃ κινεῖται, ὥσπερ εἴρηται πρότερον· ἐν τῷ ὑποθέμενον εὐκινητότερον ὂν ὠθοῦν-
τας, τοῦ μὴ προσθιγεῖν· ἐφ' ὃ δὲ ῥέπει ἕκαστον, εὐκίνητόν ἐστιν. ἔτι περὶ τὸ
ἐπὶ τὸ ἐναντίον τῆς ῥοπῆς, δυσκίνητον. ἔτι λέγουσί τινες ὅτι καὶ ἡ
γραμμὴ ἡ τοῦ κύκλου ἐν φορᾷ ἐστὶν ἀεί, ὥσπερ τὰ μένοντα διὰ τὸ ἀντι-
ρείδειν. οἷον καὶ τοῖς μείζοσι κύκλοις ὑπάρχει πρὸς τοὺς ἐλάττονας.
θᾶττον γὰρ ὑπὸ τῆς ἴσης ἰσχύος κινοῦνται οἱ μείζους, καὶ τὰ βάρη κινοῦσι
διὰ τὸ ῥοπήν τινα ἔχειν τὴν γωνίαν τὴν τοῦ μείζονος κύκλου πρὸς τὴν
τοῦ ἐλάττονος, καὶ εἶναι ὅπερ ἡ διάμετρος πρὸς τὴν διάμετρον. ἀλλὰ
μὴν πᾶς κύκλος μείζων πρὸς ἐλάττονα· ἄπειροι γὰρ οἱ ἐλάττους.
εἰ δὲ καὶ πρὸς ἕτερον ἔχει ῥοπὴν ὁ κύκλος, ὁμοίως εὐκίνητος, καὶ ἄλλην
ἂν ἔχει ῥοπὴν ὁ κύκλος, καὶ τὰ ὑπὸ τὸν κύκλον κινούμενα, κἂν μὴ τῇ
ἁψῖδι ἅπτηται τοῦ ἐπιπέδου, ἀλλ' ἢ παρὰ τὸ ἐπίπεδον, ἢ ὡς αἱ τροχι-
λέαι. καὶ γὰρ οὕτως ἔχοντα ῥᾷστα κινοῦνται καὶ κινοῦσι τὸ βάρος
ἢ οὕτως κἂν μικρὸν ἅπτηται καὶ προσκρατεῖν, ἀλλὰ δι' ἄλλην αἰτίαν.
αὕτη δ' ἐστὶν ἡ εἰρημένη πρότερον, ὅτι ἐκ δύο φορῶν γεγένηται ὁ κύ-
κλος, ὥστε μίαν αὐτῶν ἀεὶ ἔχειν ῥοπήν, καὶ οἷον φερόμενον αὐτὸν
ἀεὶ κινοῦσιν οἱ κινοῦντες, ὅταν κινῶσι κατὰ τὴν περιφέρειαν ὁπο-
πωσοῦν· φερόμενον γὰρ αὐτὴν κινοῦσι· τὴν μὲν γὰρ εἰς τὸ πλά-
γιον αὐτοῦ κίνησιν, ὠθεῖ τὸ κινοῦν· τὴν δὲ ἐπὶ τῆς διαμέτρου αὐ-
τὸς κινεῖται. ¶Διὰ τί τὰ διὰ τῶν μειζόνων κύκλων αἰρόμενα καὶ
ἑλκόμενα, ῥᾷον καὶ θᾶττον κινοῦμεν· οἷον καὶ αἱ τροχιλέαι αἱ μείζους τῶν
ἐλαττόνων καὶ αἱ σκυτάλαι ὁμοίως; ἢ διότι ὅσῳ ἂν μείζων ἡ ἐκ τοῦ κέν-
τρου ᾖ, ἐν τῷ ἴσῳ χρόνῳ πλέον κινεῖται χωρίον, ὥστε καὶ τοῦ ἴσου βά-
ρους ἐπόντος ποιήσει τὸ αὐτό, ὥσπερ εἴπομεν, καὶ τὰ μείζω ζυγὰ τῶν
ἐλαττόνων ἀκριβέστερα εἶναι. τὸ μὲν γὰρ σπαρτίον ἐστὶ κέντρον· τοῦ δὲ ζυ-
γοῦ αἱ ἐπὶ τάδε τοῦ σπαρτίου αἱ ἐκ τοῦ κέντρου. ¶Διὰ τί ῥᾷον ὅταν ἄνευ
βάρους ᾖ, κινεῖται τὸ ζυγὸν ἢ ἔχον βάρος; ὁμοίως δὲ καὶ τροχὸς καὶ τὸ τοιοῦ-
τον, τὸ βαρύτερον μέν, μείζω δὲ τοῦ ἐλάττονος καὶ κουφοτέρου; ἢ ὅτι οὐ μό-
νον εἰς τοὐναντίον τὸ βαρύ, ἀλλὰ καὶ εἰς τὸ πλάγιον δυσκίνητόν ἐστιν. ἐναν-
τίον γὰρ τῇ ῥοπῇ κινῆσαι χαλεπῶς· ἐφ' ὃ δὲ ῥέπει ῥᾴδιον. εἰς δὲ τὸ πλάγιον
οὐ ῥέπει

τροχιλέαι

τροχιλέαι
σκυτάλαι

οὐ ῥέπει. Διὰ τί ἐπὶ τῶν σκυτάλων ῥᾷον τὰ φορτία κομίζεται ἢ ἐπὶ τῶν
ἁμαξῶν ἐχουσῶν τῶν μὲν μεγάλους τροχούς, τῶν δὲ μικρούς; ἢ διότι ἐπὶ τῶν
σκυτάλων οὐδεμίαν ἔχει πρόσκοψιν, τὸ δὲ ἐπὶ τῶν ἁμαξῶν, τὸν ἄξονα
ᾧ προσκόπτει αὐτῷ· ἐκεῖ γὰρ τὸ ἄνωθεν πιέζει αὐτόν, καὶ ἐκ τοῦ πλαγίου·
τὸ δὲ ἐπὶ τῶν σκυταλῶν, ἐπὶ δύο τούτων κινεῖται, τῇ τε κάτω χώρᾳ ὑποκει-
μένῃ, καὶ τῷ βάρει τῷ ἐπικειμένῳ· ἐπ' ἀμφοτέροις γὰρ τούτων κυλίεται τῶν
τόπων ὁ κύκλος, καὶ φερόμενος ὠθεῖται. ¶Διὰ τί πορρωτέρω τὰ βέλη
φέρεται ἀπὸ τῆς σφενδόνης, ἢ ἀπὸ τῆς χειρός, καίτοι κρατεῖ γε ὁ βάλλων
τῇ χειρὶ μᾶλλον ἢ ἀπαρτήσας τὸ βάρος; καὶ ἔτι οὕτω μὲν δύο βάρη κινεῖ-
ται, τὸ τῆς σφενδόνης καὶ τὸ βέλος, ἐκείνως δὲ τὸ βέλος μόνον. πότερον ὅτι ἐν
μὲν τῇ σφενδόνῃ κινούμενον τὸ βέλος ῥίπτει ὁ βάλλων· περιαγαγὼν
γὰρ κυκλωτὸν πολλάκις ἀφίησιν· ἐκ δὲ τῆς χειρὸς ἀπὸ τῆς ἠρεμίας ἡ
ἀρχή. πάντα δὲ εὐκινητότερα κινούμενα ἢ ἠρεμοῦντα. ἢ διά τε
τοῦτο, καὶ διότι ἐν μὲν σφενδονᾶν, ἡ μὲν χεὶρ γίνεται κέντρον, ἡ δὲ σφεν-
δόνη ἡ ἐκ τοῦ κέντρου. ὅσῳ ἂν ᾖ μείζων ἡ ἀπὸ τοῦ κέντρου, κινεῖται θᾶτ-
τον. ἡ δὲ ἀπὸ τῆς χειρὸς βολὴ πρὸς τὴν σφενδόνην βραχεῖά ἐστι.
¶Διὰ τί ῥᾷον κινοῦνται περὶ τὸ αὐτὸ ζυγὸν οἱ μείζους τῶν ἐλαττόνων κόλ-
λοπες, καὶ οἱ αὐτοὶ ὄνοι λεπτότεροι ὑπὸ τῆς αὐτῆς ἰσχύος τῶν παχυτέρων;
ἢ διότι ὁ μὲν ὄνος καὶ τὸ ζυγὸν κέντρον ἐστί, τὰ δὲ ἀπέχοντα μεγέθη αἱ
ἐκ τοῦ κέντρου. θᾶττον δὲ κινοῦνται καὶ πλέον ἀπὸ τῆς αὐτῆς ἰσχύος αἱ
τῶν μειζόνων κύκλων, ἢ αἱ τῶν ἐλαττόνων· ὑπὸ τῆς αὐτῆς γὰρ ἰσχύος μεῖ-
ζον μεθίσταται τὸ ἄκρον τὸ πορρώτερον τοῦ κέντρου. διὸ πρὸς μὲν τὸ ζυ-
γὸν τοὺς κόλλοπας ὄργανα ποιοῦνται, οἷς ῥᾷον στρέφουσιν· ἐν δὲ τοῖς
λεπτοῖς ὄνοις, πλεῖον γίνεται τὸ ἔξω τοῦ ξύλου· αὕτη δὲ γίνεται ἡ ἐκ τοῦ κέν-
τρου. ¶Διὰ τί τὸ αὐτὸ μέγεθος ξύλον ῥᾷον κατάγνυται περὶ τὸ γόνυ
ἐὰν ἴσον ἀποσχόντες τῶν ἄκρων ἐχόμενος καταγνύῃ, ἢ ἐὰν παρὰ τὸ γόνυ
ἐγγὺς ὄντες, καὶ ἐὰν πρὸς τὴν γῆν ἐρείσας, καὶ τῷ ποδὶ προσβὰς πόρρωθεν
τῇ χειρὶ καταγνύῃ ἢ ἐγγύθεν; ἢ διότι, ἔνθα μὲν γὰρ τὸ γόνυ κέντρον, ἔνθα
δὲ ὁ πούς. ὅσῳ δ' ἂν πορρώτερον ᾖ τοῦ κέντρου, ῥᾷον κινεῖται ἅπαν. κινηθῆ-
ναι δὲ ἀνάγκη καταγνύμενον. ¶Διὰ τί περὶ τοὺς αἰγιαλοὺς αἱ καλούμεναι

Cur funda utentes longius lapidē iaci-
unus

κόλλοπες

χρόκαι

κρόνα εἰσὶν, ἐκ μακρῶν τῶν λίθων καὶ ὀξυγώνιαι ἔχόντων, ἢ διότι τὸ πλεῖον ἀπέχον τοῦ μέσου ἐν τῇ κινήσει, θᾶττον φέρεται· τὸ μὲν γὰρ μέσον, χώρας ἐστὶν ἐν ᾗ στήσεται, ἢ ἐκ κένξου· ἀεὶ γὰρ μείζων ἀπόφασις κινήσεως, μείζω γράφει κύκλον· τὸ δὲν ἴσον χρόνῳ μείζω δρόμον, θᾶττον φέρεται· τὰ δὲ φορτία θᾶττον ἐκ τοῦ ἴσου ἀποστήματος, σφοδρότερον τύπτει· τὰ δὲ τύπτοντα μᾶλλον, κλᾶται μᾶλλον· ὥστε καὶ ἀναγκαίως αἰεὶ τὸ πλεῖον ἀπέχοντα τοῦ μέσου· τοῦ τοῦ πάχους ἀνάγκη κλᾶσθαι πλείω φορτία· διὰ τὴν θαλάττης κίνησιν διὰ τὸ μετὰ θαλάττης κινεῖσθαι, συμβαίνει εἶναι τὴν κυλιομένην προσκόπτειν· οὗ τὸ δὲ ἀνάγκη μάλιστα συμβαίνειν αὐτὸ τὸ ἄκρον.

Διὰ τί ὅσῳ ἂν ᾖ μακρότερα τὰ ξύλα, ῥοπὴν τοσαύτην ἐνέγκαι καὶ μὴ ἐλαφροτέρα μᾶλλον, καίπερ ἡ μὲν ἔρα χιλίων ὄντων λεπτῶν, τὸ δὲ ἓξ καὶ τριάκοντα μυρίων; ἢ διότι μοχλοῦ γίνεται βάρος καὶ ὑπομόχλιον ἐν ᾧ φέρεται τὸ ξύλον τὸ μῆκος· τὸ μὲν γὰρ πρὸς τῇ μερίδι αὐτοῦ, ὑπομόχλιόν ἐστι· τὸ δὲ ἐπὶ τῷ ἄκρῳ βάρος· ὥστε ὅσῳ ἂν ᾖ μακρότερον τὸ ἀπὸ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη καὶ μᾶλλον θᾶττον φέρεσθαι· ὅσῳ γὰρ ἂν πλέον ἀπέχῃ τοῦ ὑπομοχλίου, τοσούτῳ ἀνάγκη καὶ μᾶλλον θᾶττον φέρεσθαι· μεῖζον· ἀνάγκη οὖν αἴρεσθαι τὸ ἄκρον τοῦ μοχλοῦ· ἐὰν δὲ ᾖ καὶ πρὸς μόνῳ τῷ ὁμοχλίῳ, ἀνάγκη αὖ τὸν καὶ μᾶλλον αἴρεσθαι μᾶλλον αἰρόμενον· ὅ περ συμβαίνει ὠθοῦντι τὸ ξύλον τῷ μακρῷ· ἐν ᾧ δὲ πιέζει ἐγγὺς τὸ ἔσχατον τοῦ ὑπομοχλίου γίνεται τὸ ἠρεμοῦν τοῦ

De Cunei potétia ad diuidendas magnas moles

Διὰ τί τῷ σφῆνι ὀνίτι μικρῷ, μεγάλα βάρη διΐσῃ, κἂν μεγέθησι μάτων ἀθλίψισι ἰσχυρὰ γίνεται, ἢ διότι ὁ σφὴν, δύο μοχλοί εἰσι ἐν ἀντίοι ἀλλήλοις· ἔχει δὲ ἑκάτερος· τὸ μὲν βάρος, τὸ δὲ ὑπομόχλιον· ὁ καὶ ἀναπαύει ἢ ὠθίζει· ἔτι δὲ ἡ σφῆνος φορά, τὸ βάρος ὁ τύπτει καὶ κινεῖ, ποιεῖ μέγα, καὶ διὰ τὸ κινούμενον κινεῖν τὴν ταχυτῆτι, ἰσχύει ἐπὶ πλέον μικρῷ δ' ὄντι τῶν μοχλῶν μεγάλα δυνάμεσι ἀκολουθοῦσι· διὸ λανθάνει κινοῦσα παρὰ τὴν ἀξίαν τοῦ μεγέθους· ἐσφῆνι ἐφῷ ᾱβ̄ γ̄· τὸ δὲ σφῆνος οὔμῳ δη̄ζ· μοχλὸς δὲ

ὃ γίνεται ᾱ β̄· βάρος δὲ τὸ τοῦ κάτωθεν ὑπομοχλίου, τὸ ζ· ἀφαντίος δὲ τοῦ ὅλου μοχλοῦ, τὸ ῡ γ̄· ἡ δὲ ᾱ γ̄· κοπτομένη ἑκατέρα τούτων χῆται μοχλῷ· αὐξάνεται γὰρ τὸ β̄· Διὰ τί ἐὰν τὸ αὐτὸ ξύλον δύο ξοχλαίας ποιήσας ἐπιθῇσι ξύλοις συμβάλλουσιν ἐναντίοις ἀντίοις κύκλῳ περιβαλὼν καὶ λώδιον ἔχον τὸ αὐτὸ μῆκος ἑκατέρᾳ τῶν ξύλων, θᾶττον ἢ προσερηρεισμένον ἢ ἄνευ τοῦ δεδεμένου κατὰ τὰς ξοχαλίδας ἐὰν ἐλκηθῇ τῇ ἀρχῇ· τὸ καὶ λώδιον μεγάλα βάρη προσάγει, καὶ μικρὰ ἢ ἐλκουσαι ἰσχύς· ἢ διότι τὸ αὐτὸ βάρος ἀπὸ ἐλάττονος ἰσχύος εἰ μοχλεύεται, ἐγείρεται ἢ ἀπὸ χειρός, ἢ ξοχλαία, τὸ αὐτὸ πρεῖ τῷ μοχλῷ· ὥστε μίας ἕλξεως καὶ ἀπὸ μιᾶς ὁλκῆς τοσοῦτον καὶ τὰς χεῖρας πολὺ ἕλξει βαρύτερον· τοῦ τοιοῦδε δύο ξοχλαίαι πλέον ἢ δι' πλασίω τὸ χειρὶ ἔργασαι ἐλάττονος γὰρ ἔτι ἡ ἑτέρα ἔλκει· ἢ εἰ αὐτὴ καθ' ἑαυτὴν εἵλκεν, ὁ τῶν ἄρα ἀφ' ἑτέρας ἐπιβληθὲν φορτίον· ἐκείνη γὰρ ἔτι ἐλάττονος ἐπίσησε τὸ βάρος· Διὰ οὕτως ἐὰν μείζους πλείους ἐπιβάλητε τὸ καὶ λώδιον ἐν ὀλίγῃ μοχλαίας πρὸς γίνεται διὰ φορά· ἢ ὥστε ὑπὸ φορᾶς τοῦ βάρους ἕλκονται τέτταρας μνᾶς, ὑπὸ φορᾶς πολὺ ταύτας ἕλκειαν πολλῷ ἐλάττονος· ἢ ἐν τοῖς οἰκοδομικοῖς ἔργοις ἁπλῶς κινοῦσι μεγάλα βάρη· μετὰ φέρουσι γὰρ ἀπὸ ἀφ' ἑνὸς ξοχλαίας ἐφ' ἕτεραν· καὶ πάλιν ἀπὸ τεκείμης εἰς ὄνους Διὰ μοχλός· ῥοπὴν ἢ ταυτόν ὅτι τῶν ποιεῖν πολλὰς ξοχλαίας Διὰ τί ἐὰν μόνον ὦσιν ἐπὶ τὸ ξύλον πέλεκυν μέγαν, Φορτίον μέγα, ἐπάνω τῶν, οὐ διαιρεῖ τὸ ξύλον· ὅτι καὶ λόγου ἄξιον· ἐὰν δὲ ἄρα τὸν πέλεκυν τις τατάξῃ αὐτὸ διαιρίζει, ἔλαττον βάρος ἔχοντος τοῦ τυπτομένου, πολὺ μᾶλλον ἢ τοῦ ἐπικειμένου Διὰ μέγας, ἢ διότι διὰ τοῦτο τὴν κίνησιν ἐργάζεται· καὶ τὸ βαρὺ τὴν τοῦ βάρους κίνησιν λαμβάνει μᾶλλον κινούμενον ἢ ἠρεμοῦν· ἐπικειμένου δὲ, ἀκίνητον τὴν τοῦ βάρους κίνησιν· φορὰ μόνον δὲ, παύεται τὸ τοῦ τύπτοντος· ἐπὶ δὲ γίνεται σφῆνι ὁ πέλεκυς· ὁ δὲ σφῆν μικρὸς ὢν μεγάλα διΐστησι διὰ τὸ εἶναι ἐκ δύο μοχλῶν ἐναντίως

ὁ· β·

χροκαι

Pulchrè & dignè scitur documétú. quo etiá soluitur illa dubitatio qd est illud quod mouet iaculú aere manu iam emissú

συγκειμένων. Διὰ τί αἱ φάλαγγες τὰ κρέα ἱστᾶσιν ἀπὸ μικροῦ ἀρτήματος μεγάλα βάρη, τοῦ ὅλου ἡμιζυγίου ὄντος; οὗ μὲν γὰρ τὸ βάρος ἐντίθεται, κατήρτηται μόνον ἡ πλάστιγξ· ἐπὶ θάτερον δὲ ἡ φάλαγξ ἐστὶ μόνον. ἢ ὅτι ἅμα συμβαίνει ζυγὸν εἶναι καὶ μοχλὸν εἶναι τὴν φάλαγγα. ζυγὸν μὲν γὰρ, ᾗ τῶν σπαρτίων ἕκαστον γίνεται τὸ κέντρον τῆς φάλαγγος. τὸ μὲν οὖν ἐπὶ θάτερα ἔχει πλάστιγγα, τὸ δὲ ἐπὶ θάτερα, ἀντὶ τῆς πλάστιγγος τὸ σφαίρωμα ὃ ἐν τῷ ζυγῷ πρόσκειται, ὥσπερ εἴ τις τὴν ἑτέραν πλάστιγγα καὶ τὸν σταθμὸν ἐπιθείη ἐπὶ τὸ ἄκρον τῆς πλάστιγγος. δῆλον γὰρ ὅτι ἕλκει τοσοῦτον βάρος ἐν τῇ ἑτέρᾳ κειμένου πλάστιγγι. ὅπως δὲ τὸ ἓν ζυγὸν πολλὰ ᾖ ζυγά, τοιαῦτα τὰ σπαρτία πολλὰ ἔγκειται ἐν τῷ τοιούτῳ ζυγῷ, ὧν ἑκάστου τὸ ἐπὶ τὰ δὲ ἐπὶ τὸ σφαίρωμα τὸ ἥμισυ τῆς φάλαγγός ἐστι, καὶ ὁ σταθμὸς ἴσον τούτων ἀπ' ἀλλήλων τῶν σπαρτίων κινουμένων, ὥστε συμμετρεῖσθαι πόσον βάρος ἕλκει τὸ ἐν τῇ πλάστιγγι κείμενον, ὥστε γνωρίζειν ὅταν ὀρθὴ ἡ φάλαγξ ᾖ, ἀπὸ ποίου σπαρτίου πόσον βάρος ἔχει ἡ πλάστιγξ, καθάπερ εἴρηται. ὅλως δὲ ἐστὶν αὕτη ζυγὸν, ἔχον μίαν μὲν πλάστιγγα ἐν ᾗ ἵσταται τὸ βάρος, τὴν δὲ ἑτέραν ἐν ᾗ ὁ σταθμὸς ἐν τῇ φάλαγγι· διὸ σφαίρωμά ἐστιν ἡ φάλαγξ ἐπὶ θάτερον. τοιοῦτον δὲ ὂν πολλὰ ζυγά ἐστι, τοσαῦτα ὅσα περ ἐστὶ τὰ σπαρτία. αἰεὶ δὲ τὸ ἐγγύτερον σπαρτίον τῆς πλάστιγγος καὶ τοῦ ἱσταμένου βάρους μεῖζον ἕλκει βάρος, διὰ τὸ γίνεσθαι τὴν μὲν φάλαγγα πᾶσαν μοχλὸν ἀνεστραμμένον, ὑπομόχλιον μὲν τὸ σπαρτίον ἕκαστον, ἄνωθεν ὄν, τὸ δὲ βάρος τὸ ἐνὸν ἐν τῇ πλάστιγγι· ὅσῳ δ' ἂν ᾖ μακρότερον τὸ μῆκος τοῦ μοχλοῦ τὸ ἀπὸ τοῦ ὑπομοχλίου, τοσούτῳ ἐκεῖ μὲν ῥᾷον κινεῖ, ἐνταῦθα δὲ σήκωμα ποιεῖ, καὶ ἵστησι τὸ πρὸς τὸ σφαίρωμα βάρος τῆς φάλαγγος. Διὰ τί οἱ ἰατροὶ ῥᾷον ἐξαιροῦσι τοὺς ὀδόντας προσλαμβάνοντες βάρος τὴν ὀδοντάγραν, ἢ τῇ χειρὶ μόνῃ ψιλῇ; πότερον διὰ τὸ μᾶλλον ἐξολισθαίνειν διὰ τῆς χειρὸς τὸν ὀδόντα ἢ ἐκ τῆς ὀδοντάγρας; ἢ μᾶλλον ὀλισθαίνει τῆς χειρὸς ὁ σίδηρος, καὶ οὐ περιλαμβάνει αὐτὸν κύκλῳ·

ὀδοντάγραν

μαλθακὴ γὰρ οὖσα ἡ σὰρξ τῶν δακτύλων, καὶ προσμένει μᾶλλον καὶ περιαρμόττει. ἀλλ' ὅτι ἡ ὀδοντάγρα δύο μοχλοί εἰσιν ἀντικείμενοι, ἓν τὸ ὑπομόχλιον ἔχοντες τὴν συναφὴν τῆς θερμαστρίδος. τῷ ῥᾷον οὖν κινῆσαι χρῶνται τῷ ὀργάνῳ πρὸς τὴν ἐξαίρεσιν. ἔστω γὰρ τῆς ὀδοντάγρας τὸ μὲν ἕτερον ἄκρον ἐφ' ᾧ τὸ α, τὸ δ' ἕτερον τὸ β, ὃ ἐξαιρεῖ. ὁ δὲ μοχλὸς ἐφ' ᾧ α δ ζ, ὁ δ' ἄλλος μοχλὸς ἐφ' ᾧ β γ ε, ὑπομόχλιον δὲ τὸ γ θ δ. ὁ δ' ὀδοὺς ἐφ' οὗ ι συνάψις, ὁ δὲ τὸ βάρος. ἑκατέρῳ οὖν τῷ β ζ ἅμα λαβὼν κινεῖ. ὅταν δὲ κινήσῃ, ἐξεῖλε ῥᾷον τῇ χειρὶ ἢ τῷ ὀργάνῳ. Διὰ τί τὰ κάρυα ῥᾳδίως καταγνύουσιν ἄνευ πληγῆς ἐν τοῖς ὀργάνοις ἃ ποιοῦσι πρὸς τὸ καταγνύναι αὐτά; πολλὴ γὰρ ἀφαιρεῖται ἰσχὺς ἡ τῆς φορᾶς καὶ βίας. ἔτι δὲ σκληρῷ καὶ βαρεῖ συνθλίβων, θᾶττον ἂν καταξείη ἢ ξυλίνῳ καὶ κούφῳ τῷ ὀργάνῳ. ἢ διότι οὕτως ἐπ' ἀμφότερα θλίβεται ὑπὸ δύο μοχλῶν τὸ κάρυον· τῷ δὲ μοχλῷ ῥᾳδίως διαιρεῖται τὰ βάρη. τὸ γὰρ ὄργανον ἐκ δύο σύγκειται μοχλῶν, ὑπομόχλιον ἐχόντων τὸ αὐτὸ, τὴν συναφὴν ἐφ' ἧς τὸ α. ὥσπερ οὖν εἰ ἦσαν ἐκβεβλημέναι, ὑφ' ὧν κινουμένων εἰς τὰ γ δ ἄκρα, αἱ ε ζ συνήγοντο ῥᾳδίως ἀπὸ μικρᾶς ἰσχύος. ἣν οὖν ἐν τῇ πληγῇ τὸ βάρος ἐποίει, ταύτην ἢ κρείττω ταύτης ἡ τὸ ε γ καὶ ζ δ μοχλοὶ ὄντες ποιοῦσι. τῇ ἄρσει γὰρ εἰς τοὐναντίον αἴρονται, καὶ θλίβοντες καταγνύουσι τὸ ἐφ' ᾧ κ. διὰ τοῦτο δὲ καὶ ὅσῳ ἂν ἐγγύτερον ᾖ τοῦ α, τὸ κάρυον συντρίβεται θᾶττον· ὅσῳ γὰρ ἂν πλεῖον ἀπέχῃ τοῦ ὑπομοχλίου ὁ μοχλός, ῥᾷον κινεῖ καὶ πλέον ἀπὸ τῆς ἰσχύος τῆς αὐτῆς. ἔστιν οὖν τὸ μὲν α ὑπομόχλιον, ἡ δὲ δ α ζ μοχλός, ἡ δὲ γ α ε. ὅσῳ ἂν οὖν τὸ κ ἐγγυτέρω ᾖ τῆς γωνίας τῆς α, τοσούτῳ ἐγγύτερον γίνεται τῆς συναφῆς τῆς α. τοῦτο δέ ἐστι τὸ ὑπομόχλιον. ἀνάγκη τοίνυν ἀπὸ τῆς αὐτῆς ἰσχύος συναγούσης τὰ ζ ε, αἴρεσθαι πλέον. ὥστε ἐπεί ἐστιν ἐξ ἐναντίας ἡ ἄρσις, ἀνάγκη θλίβεσθαι μᾶλλον, τὸ δὲ μᾶλλον θλιβόμενον, κατάγνυται θᾶττον. Διὰ τί φερομένων δύο φορὰς ἐν τῷ ῥόμβῳ τῶν ἄκρων σημείων, ἀμφοτέρων οὐ τὴν ἴσην ἑκάτερον αὐτῶν εὐθεῖαν διέρχεται, ἀλλὰ πολλαπλασίαν θάτερον; ὁ αὐτὸς δὲ λόγος καὶ διὰ τί τὸ ἐπὶ τῆς πλευρᾶς φερόμενον ἐλάττω διέρχεται τῆς φορᾶς· τὸ

θερμαστρίδος

De nucū fractioē

εἰς γωνίαν κατασκέψωσιν αὐτῷ. δύο γὰρ ἐχούσι γωνίας τὰς αρχὰς
τοῦ ασ ρτίου· ἴσα δ' ὄντα τὰ ασ ρτία κεῖται πρὸς κάμψεις, τό, τε αβ
ℭ β γ τῷ δ, ℭ δ θ. ἡ τοίνυν αβ ἐπὶ τὰ γ οὐ τάδε μᾶλλον, ὅτι οὐ
πως ἔχει, ἢ αὐτὰ ἀπόλυξις· ἡμῖν δὲ αβ, τῇ εθ ἴσα· ἴσα γὰρ εἰσιν αἱ
πλευραὶ δ β ηκ α χωρίῳ ℭ τὰ ξυστήματα ἴσα δέξηκ· ἡ δὲ β η, ἴση
τῇ κ α· ἡμῖν δὲ β γωνία ἴση τῇ η. ἐν ἴσοις δὴ μήκεσι· ἡ δὲ ἐν τῷ σ, ἡ μὲ
β ὄξεια ἡμίσεια ὀρθῆς· ἡ γὰρ ζ ℭ. ἴση τῇ ζ α· καὶ γωνία δὴ ἡ κα
τὸ ζ ὀρθή· τῇ δὲ β γωνία ἴση τῇ κζ τὸ η· ἡ δὲ κζ τὸ ζ
ὀρθή· ἐπεὶ δὴ ἡ πλευρὰ ὁ πλαγίου ἡ πρὸς μέσον κέκλα-
σται, ὥστε τὴν α γ τῇ εη ἴσην· ἀλλὰ τῇ κθ· παραλληλόγραμμος γὰρ,
ὥστε καὶ β γ, ἴση τῇ κθ, ἡ δὲ γ ε, τῇ δ θ ὁμοίως δὴ καὶ αἱ ἄλλαι
δείκνυμεν· ὅτι ἴσαί εἰσιν αἱ κζ τ κάμψεις δυσί τοῖς δυσίν· ὥστε καὶ ὅλον
ὅτι τὸ τῆς λικοῦ τοῦ ασ ρτίου ὅσον τὸ αβ τέσσαρα, τοσαῦτα
νεύσεις ἐν τῇ κλίμακι· ὅσον δ' ἂν τὸ πλῆθος ᾖ ἐν τῇ ζ η πλευρᾷ ξυ-
στημάτων, ἃ ἐν ᾗ μισείᾳ τῷ ζ β τὰ ἡμίσεια· ὥστε καὶ τῇ ἡμισείᾳ κλί-
μακι, τῆς λικοῦ τοῦ μεγέθους ασ ρτίου, ὅσον τῷ β α ἐνεστὶ τοσαῦτα
ἐν τῷ πλήθει, ὅσα περὶ τὸ η ζυστήματα· ταῦτα γὰρ ἀδύνατα διαφέρει
λέγω, ἢ ὅσα ἐν τῇ αζ ℭ β ζ τὰ σωτήρια· εἰ δὲ καὶ τὰ διὰ μέσου
ἐν ταὐτῷ τὰ τοῦ ρτίου· ὡς ἐν τῇ αβ γ δ κλίμηξει, ταὐτὰ μίσεα εἰ-
σὶν ἃ τοσαῦτα, ὅσα αἱ πλευραὶ ἀμφοῖν, αἱ αζ ζ η. τὰ ἴσα δὲ ὅ-
σα ἐν τῷ ζ β ζ α ξυστήματα μείζονα δὲ εἰσιν αἱ αζ
β ζ· δύο ὄντα τ αβ· ὥστε ℭ τὸ τοῦ ρτίου μεῖζον τοσούτῳ, ὅσον αἱ πλευ
ραὶ ἀμφω μείζους εἰσὶ φ λ δ μίξ. ❡ Διὰ τί χαλεπώτερον τὰ
μακρὰ ξύλα ἀπὸ μακροῦ φέρειν ἐστὶ τῷ ὤμῳ, ἢ κζ τὸ μέσον, ἴσου
τοῦ βάρους ὄντος· πρότερον ὅτι σαλευομένου τοῦ ξύλου τὸ ἄκρον κω-
λύει φέρειν, μᾶλλον αὐτῶν τῇ σαλεύσει τὸ φορτίον, ἢ καὶ μηδὲν
κάμπτηται, μηδ' ἔχῃ πολὺ μῆκος, ὅμως χαλεπώτερον φέρειν
τὸ ἄκρον· ἀλλ' ὅτι καὶ ἔχον αἴρεται τὸ ἄκρου ἐκ μέσου δια
τὸ αὐτὸ καὶ φέρειν ἐφάπτεται· αἴτιον δ' ὅτι ἐκ μέσου μᾶλ ἀρό-
μενον ἀεὶ ἐπικουφίζει ἄλλην τὸ ἄκρον· καὶ θᾶττον μέρος

Pulchrè

τὸ

τὸ ἐπὶ θάτερα τοῦ ἀίρεσθαι, ὥσπερ γὰρ κέντρον ἐστὶν τὸ μέσον ᾧ ἔχει τὸ
αἶρον ἢ φέρον· εἰς τὸ αὖ πάλιν κουφίζεται ἑκάτερον τῶν ἄκρων εἰς
τὸ κάτω ξέπεσον· ἀπὸ ᾗ τοῦ ἀκρεαίρομεν ἢ φορόμενον, οὐ πολὺ εἰ τοῦ
τὸ ἀλλ' ὅσον τὸ βάρος ξέπεσε φ' ἓν μέσον, εἰς ὅ περ αἴρεται ἢ φέ
ρεται· φ' ᾧ α· ἄκρα β γ· αἴρομένου δὴ ἢ φορομένου κζ τὸ α
τὸ μὲν β κάτω ξέπεσον, αὖ πάλιν τὸ γ· τὸ δὲ γ κάτω ξέπεσε
τὸ β· διὰ τοῦτο αἴρομένου α, διὰ τοῦτο καὶ ❡ Διὰ τί εὐηλί
αν μακρὸν τὸ αὐτὸ βάρος, χαλεπώτερον φέρειν τὸ ὤμῳ, καὶ μέσον
φέρειν· ἢ εὐηλίαν ἐπὶ πολλαὶ ἐλέχθη, ὡς διὰ δύο αἴτιον ἡ σάλευσις
αὐτῶν ἡ σάλευσις μᾶλλον ἐπὶ τὸ μακρότερον· ὁ δὲ γῇ μακρότερ τὸ ἄκρα σαλεύε
ται, ὥστε εἰ ἦν καὶ τὸν φέρον τὰ χαλεπώτερον φέρειν μᾶλλον· αἴ-
τιον δὲ τὸ σαλεύεσθαι μᾶλλον, ὅτι φλαῦφλα μήκη δύσκ, μεθ' ὅσα
ται τὸ ἄκρα, ὅσῳ περ αὖ ἡ μακρότερον τὸ ξύλον· ὁμῷ δὲ ὦμῳ κέν
τρον, ἐφ' οὗ τὸ α· μῶμ γὰρ τοῦ τὸ αἰὲ α ℭ α γ αἰεὶ κατὰ κέν τρον·
ὅσῳ δεῖν ἢ μεῖζον τὸ ἐκ τοῦ κέντρου ἢ τὸ α β ἢ καὶ τὸ α γ· τοσού
τῳ μεθ' ἕστηκεν μέγεθος· δέδεικται δὲ τοῦτο τὸ πρότερον· ❡ Διὰ
τί ἐπὶ τοῖς φέρουσι τὸ κηλόνεια πρὸ οὖσι τοῦ τοῦ ὤμου πρόπαλιν·
προσπίπτουσι γὰρ βάρος ἐν τῷ ξύλῳ τὸν μόλιβδον, ὃν τοῦ βά-
ρους τοῦ κάτω αὐτοῦ καὶ κείμενου καὶ βλήρους ὄγκος· ἢ ὅτι ἐν ἰσοῖς
χρόνοις διήκει μᾶλλον τὸ ἕτερον (βάλλουσι γὰρ δεῖ, καὶ τοῦ πάνω ἐλκύ-
σαι) συμβαίνει καθήνεμον κινεῖν ἐξάγωσιν· αἴρει δὲ βλήρη χαλε
πῶς· λίσι τὰ λεῖα μικρῷ μᾶλλον· ἐὰν γὰρ μικρὸν ἐπὶ τὸ κατατείνῃ πρὸς τὸν ὦμον
κεφίσας τὸ βάρος ἀνάγομεν· τοῦτο οὖν πρὸς τῷ κρῳ τῷ κηλωνείῳ
ὁ μόλιβδος προσκείμενος ἢ ὁ λίθος· καθήμενον μὲν οὐ δύνεται βά
ρος μεῖζον εἶναι ἢ ὅσον ἐν ἀνάγκῃ δεῖ κατατείνειν κάσυ· ὁ δὲ βλήρης ἢ ὁ λίθος ἀνάγει ὁμοί
λοσος ἢ ὁ, παρὰ ἢ τὸ προσκείμενον βάρος· ὥστε ἴσῳ ἔσται τὸ
ἀμφω ἐκείνῳ ❡ Διὰ τί ὅταν φέρωσιν ὑπὸ ξύλῳ ἢ μὴ τοιούτου
δύο ἀνθρώπω ἴσον βάρος, μᾶλλον ἡσθάνεται τῷ μεσῷ ἢ τῷ βαρεῖ·
ἀλλὰ μᾶλλον ὅσῳ ἂν ἐγγύτερον ἢ τοῦ φορτίου ᾖ τὸ μέσον· ὁ δὲ ἐγ-

γύτερον

χηλόνεια τοῖς φέρεσι

ἢ ὑπὲρ τοῦ βάρους τῶν φερόντων τὸ βάρος τὸ κινούμενον· ἅτερος δὲ τῶν φερόντων τὸ μὲν βάρος ὁ κινῶν· ὅσῳ πλεῖον ἀπέχει τοῦ βάρους, τοσούτῳ ῥᾷον κινεῖ, ὁ δὲ θλίβεται μᾶλλον ὁ ἕτερος εἰς τὸ κάτω, ὥσπερ ἀντερείδοντος τοῦ ἀπέχοντος βάρους τῷ ἐπικειμένῳ, καὶ γινομένου ὑπομοχλίου. ἐν μέσῳ δὲ ὑποκειμένου τοῦ βάρους, οὐδὲν μᾶλλον ἅτερος θατέρῳ γίνεται βάρος, οὐδὲ κινεῖ, ἀλλ' ὁμοίως ἑκάτερος ἑκατέρῳ γίνεται βάρος.

Διὰ τί οἱ ἀνιστάμενοι πάντες πρὸς ὀξεῖαν γωνίαν τῷ μηρῷ ποιήσαντες τὴν κνήμην ἀνίστανται, καὶ τῷ θώρακι πρὸς τὸν μηρόν; εἰ δὲ μή, οὐκ ἂν δύναιντο ἀναστῆναι. πότερον ὅτι τὸ ἴσον ἠρεμίας πανταχοῦ αἴτιον, ἡ δ' ὀρθὴ γωνία τοῦ ἴσου, καὶ ποιεῖ στάσιν· διὸ καὶ φέρεται πρὸς ὁμοίας γωνίας τῇ περιφερείᾳ τῆς γῆς· οὐ γὰρ ὅτι καὶ πρὸς ὀρθὴν ἔσται τῷ ἐπιπέδῳ. ἢ ὅτι ἀνιστάμενος γίνεται ὀρθός, ἀνάγκη δὲ τὸν ἑστῶτα κάθετον εἶναι πρὸς τὴν γῆν. εἰ οὖν μέλλει ἔσεσθαι πρὸς ὀρθήν, τοῦτ' ἔστι τὴν κεφαλὴν ἔχειν κατὰ τοὺς πόδας, δεῖ καὶ γίνεσθαι δή, ὅτε ἀνίσταται. ὅταν μὲν οὖν καθήμενος ᾖ, παράλληλον ἔχει τὴν κεφαλὴν καὶ τοὺς πόδας, καὶ οὐκ ἐπὶ μιᾶς εὐθείας. κείσθω ἡ κεφαλὴ α, θώραξ αβ, μηρὸς βγ, κνήμη γδ. πρὸς ὀρθὴν γίνεται, ὅ τε θώραξ ἐφ' ὧν αβ τῷ μηρῷ, καὶ ὁ μηρὸς τῇ κνήμῃ οὕτως καθημένῳ. ὥστε οὕτως ἔχοντα ἀδύνατον ἀναστῆναι. ἀνάγκη γὰρ ἐγκλῖναι τὴν κνήμην, καὶ ποιεῖν τοὺς πόδας ὑπὸ τὴν κεφαλήν. τοῦτο δ' ἔσται, ἐὰν ἡ γδ ἐφ' ἧς τὰ γζ γένηται, καὶ ἅμα ἀνίστασθαι, ἀναστῆναι συμβήσεται, καὶ ἕξει ἐπὶ τῆς αὐτῆς εὐθείας τὴν κεφαλὴν τε καὶ τοὺς πόδας. ἡ δὲ γζ ὀξεῖαν ποιεῖ γωνίαν πρὸς τὴν βγ.

Διὰ τί ῥᾷον κινεῖται τὸ κινούμενον ἢ τὸ μένον, οἷον τὰς ἁμάξας θᾶττον κινουμένας ὑπάγουσιν ἢ ἀρχομένας; ἢ ὅτι χαλεπώτατον μὲν τὸ εἰς τοὐναντίον κινούμενον κινῆσαι βάρος· ἀφαιρεῖται γάρ τι τῆς τοῦ κινοῦντος δυνάμεως, κἂν ᾖ πολὺ θᾶττον· ἀνάγκη γὰρ βραδυτέραν γίνεσθαι τὴν ὦσιν τοῦ ἀντωθουμένου. δεύτερον δέ, ἐὰν ἠρεμῇ· ἀντιτείνει γὰρ καὶ τὸ ἠρεμοῦν. τὸ δὲ κινούμενον ἐπὶ τὸ αὐτὸ τῷ ὠθοῦντι ὅμοιον ποιεῖ ὥσπερ ἂν εἰ αὐξήσειέ τις τὴν τοῦ κινοῦντος δύναμιν καὶ ταχυτῆτα· ὃ γὰρ ἂν ὑπ' ἐκείνου ἔπασχε, τοῦτο αὐτὸ ποιεῖ εἰς τὸ πρὸ ὁδοῦ κινούμενον. Διὰ τί

παύεται

τὸ ἴσον ἠρεμίας παν-
ταχοῦ αἴτιον

κάθετον perpendicularem

παύεται φερόμενα τὰ ῥιφέντα; πότερον ὅταν λήγῃ ἡ ἰσχὺς ἡ ἀφεῖσα, ἢ διὰ τὸ ἀντισπᾶσθαι, ἢ διὰ τὴν ῥοπήν, ἐὰν κρείττων ᾖ τῆς ἰσχύος τῆς ῥιψάσης; ἢ ἄτοπον τὸ ταῦτα ἀπορεῖν, ἀφέντα τὴν ἀρχήν.

Διὰ τί φέρεταί τι οὐ τὴν αὐτοῦ φορὰν μὴ ἀκολουθοῦντος ὠθοῦντος τοῦ ἀφέντος; ἢ δῆλον ὅτι ἐποίησε τοιοῦτον τὸ πρῶτον, ὥσθ' ἅτερον ὠθεῖν, καὶ τοῦθ' ἕτερον. παύεται δὲ ὅταν μηκέτι δύνηται ποιεῖν τὸ προωθοῦν τὸ φερόμενον ὥστε ὠθεῖν, καὶ ὅταν τὸ τοῦ φερομένου βάρος ῥέπῃ μᾶλλον τῆς εἰς τὸ πρόσθεν δυνάμεως τοῦ ὠθοῦντος.

Διὰ τί οὔτε τὰ ἐλάττονα οὔτε τὰ μεγάλα πόρρω φέρεται ῥιπτούμενα, ἀλλὰ δεῖ συμμετρίαν τινὰ ἔχειν πρὸς τὸν ῥιπτοῦντα; πότερον ὅτι ἀνάγκη τὸ ῥιπτούμενον καὶ ὠθούμενον ἀντερείδειν ὅθεν ὠθεῖται, τὸ δὲ μηθὲν ὑπεῖκον διὰ μέγεθος, ἢ μηθὲν ἀντερεῖσαν δι' ἀσθένειαν, οὐ ποιεῖ ῥῖψιν οὐδὲ ὦσιν. τὸ μὲν οὖν πολὺ ὑπερβάλλον τῆς ἰσχύος τῆς ὠθούσης οὐθὲν ὑπείκει, τὸ δὲ πολὺ ἀσθενέστερον οὐδὲν ἀντερείδει. ἢ ὅτι τοσοῦτον φέρεται τὸ φερόμενον ὅσον ἂν ἀέρα κινήσῃ εἰς βάθος, τὸ δὲ μηθὲν κινούμενον οὐδὲν ἂν κινήσειε. συμβαίνει δὲ ἀμφότερα τούτοις ἔχειν. τό τε γὰρ σφόδρα μέγα καὶ τὸ σφόδρα μικρὸν ὥσπερ οὐθὲν κινούμενά ἐστι· τὸ μὲν γὰρ οὐθὲν κινεῖ, τὸ δ' οὐθὲν κινεῖται.

Διὰ τί τὰ φερόμενα ἐν τῷ δινουμένῳ ὕδατι εἰς τὸ μέσον τελευτῶντα φέρεται ἅπαντα; πότερον ὅτι μέγεθος ἔχει τὸ φερόμενον, ὥστε ἐν δυσὶ κύκλοις εἶναι, τῷ μὲν ἐλάττονι, τῷ δὲ μείζονι, ἑκάτερον αὐτοῦ τῶν ἄκρων· ὥστε περισπᾷ ὁ μείζων διὰ τὸ φέρεσθαι θᾶττον καὶ πλαγίως ἀπωθεῖ αὐτὸν εἰς τὸν ἐλάττω. ἐπεὶ δὲ πλάτος ἔχει τὸ φερόμενον, καὶ οὗτος πάλιν τὸ αὐτὸ ποιεῖ, καὶ ἀπωθεῖ εἰς τὸν ἐντός, ἕως ἂν εἰς τὸ μέσον ἔλθῃ. καὶ τότε μένει διὰ τὸ ὁμοίως ἔχειν πρὸς ἅπαντας τοὺς κύκλους τὸ φερόμενον, διὰ τὸ μέσον· ἐν γὰρ τῷ μέσῳ ἴσον ἀπέχει ἑκάστῳ τῶν κύκλων. ἢ ὅτι ὅσων μὲν μὴ κρατεῖ ἡ φορὰ τοῦ δινουμένου ὕδατος διὰ τὸ μέγεθος, ἀλλ' ὑπερέχει τῇ βαρύτητι τῆς τοῦ κύκλου ταχυτῆτος, ἀνάγκη ὑπολείπεσθαι καὶ βραδύτερον φέρεσθαι. βραδύτερον δὲ ὁ ἐλάττων κύκλος φέρεται· τὸ αὐτὸ γὰρ ἐν ἴσῳ χρόνῳ ὁ μέγας τῷ μικρῷ στρέφεται κύκλῳ, ὅταν ὦσι περὶ τὸ αὐτὸ μέσον· ὥστε

Cur ferri desinunt ea que iaciuntur

Cur aliqd fertur nō suā latione manu emissū cū nō sequitur ille q misit

εἰς τὸν ἐλάττονα κύκλον, ἀναγκαῖον ἀπολείπεσθαι ἕως αὐτῶν τὸ μέσον
ἔλθῃ. ὅσῳ δὲ πρότερον κρατεῖ ἡ φορὰ λήψουσα τὸν τὸ ποιήσει. δεῖ
γὰρ τὸν μὲν ὀπίσω, τὸν δὲ ἕτερον κρατεῖν τῇ ταχύτητι τοῦ βάρους. ὡς
τε εἰς τὸν ἐκτὸς αἰεὶ κύκλον ὑπολείπεσθαι τὸ πᾶν. ἀναγκαῖον δὲ τὸν
ἐκτὸς ἢ ἐκτὸς κινεῖσθαι τὸ μὴ κρατοῦν μόριον ἐν αὐτῷ. διὰ δὴ τοῦτο ἐν τῷ ὕδατι
ἀδύνατον τὸν φέρεσθαι τὸ μὴ κρατοῦν μόριον. ἔτι δὲ ἡ πρὸς τῷ ἐκτὸς
θάττων ἢ φορὰ τοῦ ἐκτὸς κύκλου. λείπεται δὲ εἰς τὸν ἐντὸς τὸ μὴ
κρατοῦν μόριον μεθίστασθαι. αἰεὶ δὲ ἕκαστον ἐπὶ τὸν ἐντὸς
στοιχεῖον τὸ μὴ κρατεῖσθαι. ἐπεὶ πρότερος τοῦ
μὴ κινεῖσθαι πρὸς ἐστὶ τὸ μέσον ἐλθεῖν.
μόνῳ δὴ τῷ κέντρῳ μόνῳ, ἄτοπον ἂ
μάλιστ' εἶναι τοῦτο δὴ ἀ-
θροίζε-
σθαι.

ΤΕΛΟΣ.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ ΑΛΦΑ ΤΟ ΜΕΙΖΟΝ.

ΑΝΤΙΣ ΑΝΘΡΩΠΟΙ, ΤΟΥ ΕΙΔΕΝΑΙ ΟΡΕΓΟΝΤΑΙ ΦΥΣΕΙ· ΣΗΜΕΙΟΝ ΔΕ ΤΑΥΤΑΙ ΑΙΣΘΗΣΕΩΝ ΑΓΑΠΗΣΙΣ· ΚΑΙ ΓΑΡ ΧΩΡΙΣ ΤΗΣ ΧΡΕΙΑΣ ΔΙ' ΑΥΤΑΣ ΑΓΑΠΩΣΙΝ ΔΙ' ΑΥΤΑΣ· ΚΑΙ ΜΑΛΙΣΤΑ ΤΩΝ ΑΛΛΩΝ, ΑΙ ΔΙΑ ΤΩΝ ΟΜΜΑΤΩΝ· ΟΥ ΜΟΝΟΝ ΙΝΑ ΠΡΑΤΤΩΜΕΝ, ΑΛΛΑ ΚΑΙ ΜΗ ΘΕΝ ΜΕΛΛΟΝΤΕΣ ΠΡΑΤΤΕΙΝ, ΤΟΥΣ ΟΡΑΝ ΑΙΡΕΤΩΤΑΤΟΥΣ ΦΑΜΕΝ, ΑΥΤΙ ΠΑΝΤΩΝ ΩΣ ΕΙΠΕΙΝ ΤΩΝ ΑΛΛΩΝ. ΑΙΤΙΟΝ ΔΕ ΟΤΙ ΜΑΛΙΣΤΑ ΠΟΙΕΙ ΓΝΩΡΙΖΕΙΝ ΤΗΜΑΣ ΑΥΤΗ ΤΩΝ ΑΙΣΘΗΣΕΩΝ, ΗΤΤΟΝΑΣ ΔΗΛΟΙ ΔΙΑΦΟΡΑΣ· ΦΥΣΕΙ ΜΕΝ ΟΥΝ ΑΙΣΘΗΣΙΝ ΕΧΟΝΤΑ ΓΙΝΕΤΑΙ ΤΑ ΖΩΑ ΕΚ ΓΕΝΕΤΗΣ ΑΙΣΘΗΣΕΩΣ, ΤΟΙΣ ΜΕΝ, ΑΥΤΟ, ΟΥΚ ΕΠΙΓΙΝΕΤΑΙ ΜΝΗΜΗ· ΤΟΙΣ ΔΕ ΓΙΝΕΤΑΙ· ΚΑΙ ΔΙΑ ΤΟΥΤΟ ΤΑ ΜΕΝ ΦΡΟΝΙΜΑ ΤΑΥΤΑ, ΜΑΘΗΜΑΤΙΚΩΤΕΡΑ ΔΕ ΤΑ ΜΗ ΔΥΝΑΜΕΝΑ ΜΝΗΜΟΝΕΥΕΙΝ ΟΣΑΙΝ· ΦΡΟΝΙΜΑ ΜΕΝ, ΑΝΕΥ ΤΟΥ ΜΑΝΘΑΝΕΙΝ, ΟΣΑ ΜΗ ΔΥΝΑΤΑΙ ΤΗΝ ΦΩΝΗΝ ΑΚΟΥΕΙΝ· ΟΙΟΝ ΜΕΛΙΤΑΙΟΝ· ΕΙ ΔΕ ΤΙ ΤΟΙΟΥΤΟΝ ΑΛΛΟ ΓΕΝΟΣ ΖΩΩΝ ΕΣΤΙ· ΜΑΝΘΑΝΕΙ ΜΕΝ ΟΥΝ ΟΣΑ ΠΡΟΣΤΗΣ ΜΝΗΜΗΣ ΤΟΥΤΟ ΕΧΕΙ ΤΟ ΑΙΣΘΗΜΑ· ΤΑ ΜΕΝ ΟΥΝ ΑΛΛΑ, ΤΑΙΣ ΦΑΝΤΑΣΙΑΙΣ ΖΗΝ, ΚΑΙ ΤΗΣ ΜΝΗΜΗΣ· ΕΜΠΕΙΡΙΑΣ ΔΕ ΜΕΤΕΧΕΙ ΜΙΚΡΟΝ· ΤΟ ΔΕ ΤΩΝ ΑΝΘΡΩΠΩΝ ΓΕΝΟΣ, ΚΑΙ ΤΕΧΝΗ, ΚΑΙ ΛΟΓΙΣΜΟΙΣ· ΓΙΝΕΤΑΙ ΔΕ ΕΚ ΜΕΝ ΜΝΗΜΗΣ ΕΜΠΕΙΡΙΑ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ· Α΄ΙΔΟΥΣ ΓΑΡ ΑΙ ΠΟΛΛΑΙ ΜΝΗΜΑΙ ΤΟΥ ΑΥΤΟΥ ΠΡΑΓΜΑΤΟΣ, ΜΙΑΣ ΕΜΠΕΙΡΙΑΣ ΔΟΚΟΥΣΙΝ ΑΠΟΤΕΛΕΣΤΑΙ· ΚΑΙ ΔΟΚΕΙ ΧΕΙΡΟΝΩΣ ΕΧΕΙΝ ΕΠΙΣΤΗΜΗ ΚΑΙ ΤΕΧΝΗ, ΟΜΟΙΟΝ ΕΙΝΑΙ ΕΜΠΕΙΡΙΑ· ΑΠΟΦΑΙΝΕΙ ΔΕ ΕΠΙΣΤΗΜΗ ΚΑΙ ΤΕΧΝΗ ΔΙΑ ΤΗΣ ΕΜΠΕΙΡΙΑΣ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ· Η ΜΕΝ ΓΑΡ ΕΜΠΕΙΡΙΑ ΤΕΧΝΗΝ ΠΟΙΗΣΕΝ ΩΣ ΦΗΣΙ ΠΩΛΟΣ, ΟΡΘΩΣ ΛΕΓΩΝ· Η ΔΑ ΑΠΕΙΡΙΑ ΤΥΧΗΝ· ΓΙΝΕΤΑΙ ΔΕ ΤΕΧΝΗ, ΟΤΑΝ ΕΚ ΠΟΛΛΩΝ ΤΗΣ ΕΜΠΕΙΡΙΑΣ ΕΝΝΟΗΜΑΤΩΝ, ΚΑΘΟΛΟΥ ΜΙΑ ΓΕΝΗΤΑΙ ΠΕΡΙ ΤΩΝ ΟΜΟΙΩΝ

ων ὑπόληψις· τὸ μὲν γὰρ ἔχειν ὑπόληψιν, ὅτι Καλλίᾳ κάμνοντι τοιῳδὶ τοιόνδε, ῥᾴδιον εἰπεῖν· ἔστι γὰρ τοσόνδε· ἐμπειρίᾳ δέ· τὸ δὲ τί παῦσις ἂν ποιήσειε τοῖς δι' ἀκατέργαστον ἢ ἀφορισθεῖσι κάμνουσι τοιῳδὶ τοιοῦτον συμβεβηκέναι, οἷον, τοῖς φλεγματώδεσιν ἢ χολώδεσ' ἢ ἄν τι ῥέπουσι καύσῳ, τέχνης· πρὸς μὲν γὰρ τὸ πρᾶγμα, ἐμπειρία τέχνης οὐδὲν δοκεῖ διαφέρειν· αἰσθάνεσθαι γὰρ τῆς ἐμπειρίας λόγον ἔχομεν· αἴτιον δ' ὅτι, ἡ μὲν ἐμπειρία, τὰ καθ' ἕκαστά ἐστι γνῶσις· ἡ δὲ τέχνη, τῶν καθόλου· αἱ δὲ πράξεις καὶ γενέσεις πᾶσαι, περὶ τοῦ καθ' ἕκαστόν εἰσιν· οὐ γὰρ ἄνθρωπον ὑγιάζομεν ὅ τι ἂν μὴ κατὰ συμβεβηκός, ἀλλὰ Καλλίαν, ἢ Σωκράτη· ἢ τῶν ἄλλων τινὰ οὕτω λεγομένων, ᾧ συμβέβηκεν ἄνθρωπῳ εἶναι· ἐὰν οὖν ἄνευ τῆς ἐμπειρίας ἐπὶ τὸν λόγον, καὶ τὸ καθόλου μόνον νομίζῃ, τοῦ δ' ἐν αὐτῷ καθ' ἕκαστον ἀγνοῇ, πολλάκις ἁμαρτήσεται τῆς θεραπείας· θεραπευτὸν γὰρ τὸ καθ' ἕκαστον μᾶλλον· ἀλλὰ μὴν τοῦ γε εἰδέναι καὶ τὸ ἐπιστήμῃ τέχνῃ, τῆς ἐμπειρίας ὑπάρχειν οἰόμεθα μᾶλλον· ἠσοφωτέρους τοὺς τεχνίτας τῶν ἐμπείρων ὑπολαμβάνομεν ὡς κατὰ τὸ εἰδέναι μᾶλλον ἀκολουθοῦσαν τὴν σοφίαν πᾶσι· τοῦτο δὲ διότι τοὺς μὲν τὴν αἰτίαν ἴσασιν, οἱ δ' οὔ· οἱ μὲν γὰρ ἐμπειροι, τὸ ὅτι μέν ἴσασι· διότι δὲ οὐκ ἴσασιν· οἱ δέ, τὸ διότι καὶ τὴν αἰτίαν γνωρίζουσι· διὸ καὶ τοὺς ἀρχιτέκτονας ἑκάστων, τιμιωτέρους, καὶ μᾶλλον εἰδέναι νομίζομεν τῶν χειροτεχνῶν, καὶ σοφωτέρους· ὅτι κατὰ τὰς αἰτίας τὰ ποιοῦντα ἴσασι· οἱ δὲ ὡς τινὰ ἄψυχα φύσει ποιοῦσιν· ὃ μὲν οὖν ἄψυχα φύσει τί ποιεῖν τούτων ἕκαστον· πρὸς δὲ χειροτέχνην, ὀνείδους· ὡς δὲ καὶ τὸ πρακτικοὺς εἶναι σοφωτέρους ὄντως, ἀλλὰ καὶ τὸ λόγους ἔχειν αὐτοὺς τῶν αἰτίας γνωρίζειν· ὅλως τε ἡ μεθοδικὸν εἶναι διὰ τοσοῦτο καὶ τὸ δύνασθαι διδάσκειν ἕτερον· διὰ τοῦτο τὴν τέχνην, τῆς ἐμπειρίας σοφίαν μᾶλλον εἶναι· δύνασθαι γὰρ οἱ δὲ οὐ δύνασθαι διδάσκειν· ἔτι δὲ τῶν αἰσθήσεων, οὐδεμίαν ἡγούμεθα εἶναι σοφίαν· καίτοι γε αὗται τὰ ταῦτα εἰσὶν αὐτῶν τῶν καθ'

ἕκαστα γνώσεις· ἀλλ' οὐ λέγουσι τὸ διὰ τί περὶ οὐδενός· οἷον, διὰ τί θερμὸν τὸ πῦρ· ἀλλὰ μόνον ὅτι θερμόν· τὸν μὲν οὖν πρῶτον εἰκὸς τὸν ὁποιανοῦν μᾶλλόν τι τέχνην περὶ τοὺς κοινοὺς αἰσθήσεις, θαυμάζεσθαι ὑπὲρ τοὺς αἰσθητικοὺς, μὴ μόνον διὰ τὸ χρήσιμον εἶναί τινων εὑρεθέντων, ἀλλ' ὡς σοφὸν καὶ διαφέροντας τοὺς ἄλλους· πολλαχοῦ δὲ μεν ἐπιστημῶν τὰς μὲν, πρὸς τὰναγκαῖα· τὰς δὲ, πρὸς διαγωγὴν οὐσῶν· ἀεὶ σοφωτέρους τοὺς τοιούτους ἐκείνων ὑπολαμβάνομεν, διὰ τὸ μὴ πρὸς χρῆσιν εἶναι τὰς ἐπιστήμας αὐτῶν· ὅθεν, ἤδη πάντων τῶν τοιούτων κατεσκευασμένων, αἱ μὲν πρὸς ἡδονὴν μὴ εἰσὶ πρὸς τὰναγκαῖα τῶν ἐπιστημῶν εὑρέθησαν· αἱ πρῶτον τούτοις τοῖς τόποις οὖσαι πλεῖστα σχολάσασαν· ἐκεῖ γὰρ ἐφέθη σχολάζειν τὸ τῶν ἱερέων ἔθνος· ἐν ταῖς μὲν οὖν ἐν τοῖς ἠθικοῖς τὰς διαφορὰς τέχνης καὶ ἐπιστήμης, καὶ τῶν ἄλλων τῶν ὁμοίων· οὐδενὸς ἕνεκα νῦν προυμεθα τὸν λόγον, τοῦτ' ἔστιν· ὅτι τὸ ὄνομα ἐπὶ μὲν σοφίαν περὶ τὰς πρώτας αἰτίας καὶ τὰς ἀρχὰς, ὑπολαμβάνουσι πάντες· ὥστε καθάπερ εἴρηται πρότερον ὅτι ὁ μὲν ἔμπειρος τῶν ὁποιανοῦν ἐχόντων αἴσθησιν εἶναι δοκεῖ σοφώτερος· ὁδετεχνίτης, τῶν ἐμπείρων· χειροτέχνου δὲ ἀρχιτέκτονα· αἱ δὲ θεωρητικαὶ, τῶν ποιητικῶν μᾶλλον· ὅτι μὲν οὖν ἡ σοφία περί τινας αἰτίας καὶ ἀρχάς ἐστιν ἐπιστήμη, δῆλον· ἐπεὶ δὲ ταύτην τὴν ἐπιστήμην ζητοῦμεν, τοῦτον ἴδωμεν σκεπτέον, ἢ περὶ ποίας αἰτίας καὶ περὶ ποίας ἀρχὰς, ἐπιστήμη, σοφία ἐστίν· εἰδὴ λάβοιτις τὰς ὑπολήψεις ἃς ἔχομεν περὶ τοῦ σοφοῦ, τάχ' ἂν ἐκ τούτου φανερὸν γένοιτο μᾶλλον· ὑπολαμβάνομεν δή, πρῶτον μὲν ἐπίστασθαι μάλιστα πάντα τὸν σοφὸν ὡς ἐνδέχεται· μὴ καθ' ἕκαστον ἔχοντα τὴν ἐπιστήμην αὐτῶν· εἶτα τὸν τὰ χαλεπὰ τὰνθρώπινα δυνάμενον γνωρίζειν· καὶ μὴ ῥᾴδια αἰσθάνεσθαι, τοῦτον μὲν σοφόν· τὸ γὰρ αἰσθάνεσθαι, πάντων κοινόν· διὸ ῥᾴδιον καὶ οὐδὲν σοφόν· ἔτι τὸν ἀκριβέστερον καὶ τὸν διδασκαλικώτερον τῶν αἰτίων, σοφώτερον εἶναι περὶ πᾶσαν ἐπιστήμην· καὶ τῶν ἐπιστημῶν δὲ, τὴν αὐτὴν σφόδρα καὶ τὸ εἰ

δέναι χάριν αἱρετὴν οὖσαν μᾶλλον εἶναι σοφίαν, ἢ τὴν τῶν ἀπο-
βαινόντων ἕνεκεν· καὶ τὴν ἀρχικωτέραν φιλοσοφίαν τῆς τοὐναν-
τίον μᾶλλον εἶναι σοφίαν· τῷ γὰρ ἐπιστατικῷ μᾶλλον πρέπει τὸ σο-
φὸν ἀλλ' ἕκαστα· καὶ ὁ τοῦτο εἰδὼς ἑτέρῳ πείθεσθαι, ἀλλὰ τοῦτῳ τὸν ἧττον σοφόν· τὰς
μὲν οὖν ὑπολήψεις, τοιαύτας ἢ τοσαύτας ἔχομεν περὶ τῆς σοφί-
ας ἢ τῶν σοφῶν· τούτων δέ, τὸ μὲν πάντα εἰδέναι, ᾧ μάλιστα ἔστι γε-
νικῶς τὸ καθόλου εἰδέναι μᾶλλον ἀναγκαῖον ὑπάρχειν· οὗτος γὰρ οἶδέ πως
πάντα τὰ ὑπὸ τινα μάθησιν· καθόλου δὲ μάλιστα ταῦτ' ἐστίν, ἃ πλεῖστ' ἀνω-
τάτω τοῖς οὖσιν ὑπάρχει· ἀνάγκη γὰρ τούτων εἶναι θεωρητικὸν ἐπιστήμην, ἐν ἅπασι
τοῖς ἐπιστητοῖς· ἀλληλεμβέβασται δὲ, τῶν ἐπιστημῶν, αἱ μάλιστα τὸ πρώτων εἰσὶν· αἱ
γὰρ ὑπ' ἐλάττονος, σὺν κατὰ τὸ ἐκ προθέσεως λεγόμενον· οἷον
ἀριθμητικὴ, γεωμετρίας· ἀλλὰ μὴν καὶ δι' ἀκριβείας ἡ τῶν
πρώτων θεωρητικὴ μᾶλλον· ἔστι γὰρ διδάσκουσα τοὺς αἰτίας λέ-
γοντας περὶ ἑκάστου· τὸ δὲ εἰδέναι καὶ τὸ ἐπίστασθαι αὐτῶν ἕνεκα, μά-
λιστ' ὑπάρχει τῇ τοῦ μάλιστα ἐπιστητοῦ ἐπιστήμῃ· ὁ γὰρ εἰδὼς ἕνεκά του μᾶλλον εἰδήσει τὸ αἱρετόν, τοῦτο δ' ἦν τὸ ἀγαθὸν ἑκάστου, ὅλως
δὲ τὸ ἄριστον ἐν τῇ φύσει πάσῃ· ὀφθαλμῶν δὲ πάντων ὄντων τὸ εἰρημένον ἐστὶ τὸ
αὐτὸν ἐπιστήμῃ πάντῃ τὸ ζητούμενον ὄνομα· δεῖ γὰρ ταύτην
τὴν πρώτων ἀρχῶν καὶ αἰτιῶν εἶναι θεωρητικήν· ἡ γὰρ ἀγαθὸν καὶ
τὸ οὗ ἕνεκα, τῶν αἰτίων ἐστίν· ὅτι μὲν οὖν οὐ ποιητικὴ, φανερὸν ἐκ τῶν πρώτων
φιλοσοφησάντων· διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν τὸ πρῶ-
τον ἤρξαντο φιλοσοφεῖν· ὀφθαρχῶς μὲν τὰ πρόχειρα τὰ ἀπορώτερα θαυ-
μάσαντες· εἶτα κατὰμικρὸν οὕτω προϊόντες καὶ περὶ τὰ μείζω τῶν
πρῶν ἀπορήσαντες· οἷον περί τε τῆς τῶν παθημάτων τῆς σελήνης καὶ περὶ τῆς τοῦ ἡλίου καὶ τῶν ἄστρων καὶ περὶ τῆς τοῦ παντὸς γενέσεως· ὁ δὲ ἀπο-

πρῶν

πορῶν καὶ θαυμάζων, οἴεται ἀγνοεῖν· διὸ καὶ ὁ φιλόμυθος φιλόσοφός πως ἐστίν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων· ὥστε εἴπερ διὰ τὸ φεύ-
γειν ἄγνοιαν ἐφιλοσόφησαν, φανεροῦ ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπί-
στασθαι ἐδίωκον, καὶ οὐχ ἡσύστινος ἕνεκεν· μαρτυρεῖ δὲ καὶ αὐτὸ τὸ
συμβεβηκός· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων, καὶ
πρὸς ῥᾳστώνην καὶ διαγωγὴν ἤδη τοιαύτη φρόνησις ἥρξατο ζητεῖσθαι· δῆ-
λον οὖν ὡς δι' οὐδεμίαν ἄλλην ζητοῦμεν αὐτὴν χρείαν ἑτέραν, ἀλλ' ὥσπερ ἄν-
θρωπος φαμὲν ἐλεύθερος εἶναι ὃς ἕνεκα καὶ μὴ ἄλλου, ὅτως καὶ
αὐτὴ μόνη ἐλευθέρα· ὅσα γὰρ ἐστὶ μόνη γὰρ αὐτὴ αὐτῆς
μενεκένδεκ. διὸ καὶ δικαίως ἂν οὐκ ἀνεπιτήδειος δοκοίη εἶναι κτῆσις·
πολλαχῇ γὰρ ἡ φύσις δοῦλη τὸ ἀνθρώπων δεκ. ὥστε κατὰ Σι-
μωνίδην, θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας· ἀνάρμοδον δὲ ἄξιον
μὴ ζητεῖν τὴν καθ' ὑπόληψιν ἐπιστήμην· εἰσὶ γὰρ οἱ πᾶσι τοῖς
πᾶσι φθονεῖν τὸ θεῖον, ἐπὶ τρύφου συμβῶσι μάλιστα εἰκός· καὶ
δυστυχεῖς εἶναι πάντων τοὺς ἀεὶ πονοῦντας· ἀλλ' οὔτε τὸ θεῖον φθονεῖν
ἐνδέχεται εἶναι, ἀλλὰ κατὰ τὴν παροιμίαν, πολλὰ ψεύδονται ἀοι-
δοί· οὔτε τοῖς αὐτῆς, ἀλλ' οὐχ ἡγούμενοι μὴ μιωτέραν ἢ θεοπρε-
πῆ τὴν ἡμετέραν ἐπιστήμην· ἴσως γὰρ μάλι-
στα ὀρθῶς ἔχοι, θεία τῶν ἐπιστημῶν δεκ, καὶ εἰ τις τῷ θείων εἶη· μό-
νη δ' αὕτη τοῦτων ἀμφοτέρων τετύχηκεν· ἅ, τε γὰρ θεῖ δοκεῖ τὰ αὐ-
τῶν πᾶσιν εἶναι καὶ ἀρχή τις, ἢ τὴν τοιαύτην ἢ μόνος ἢ μάλι-
στα ἔχοιθεῖ· ἀναγκαιότερα μὲν ὄν, πᾶσα αὐτῆς· ἀμείνων δ' οὐδε-
μία· δεῖ μὲν γὰρ ὡς καταστῆναι τὴν τάξιν αὐτῆς, εἰς ἣν ἀνήκει
τὰ ὄντα ζητήσεων· ἀρχὴ δὲ ὥσπερ εἴπομεν ἀπὸ τοῦ θαυμά-
ζειν πάντ'· εἰ οὕτως ἔχει, καθάπερ τῶν θαυμάστων ταὐτόματα
τὰ μὴ ὡς τὸ πολὺ γιγνόμενα τὴν αἰτίαν, ἢ ὡς εἰς τὸ μικρὸν ἢ τὸ
φλαῦρον μᾶλλον ἔοικεν ἀνθρωπίνῳ μανθάνειν· δῆλον δοκεῖ πᾶσιν, εἶναί τι
οὐκ ἐλαχίστων μὴ μεμιγμένον· δεῖ δὲ εἰς τοὐναντίον τὸ ἄμεινον τὸ
ἧττον ἰέναι· καὶ ὡς ἐν τοῖς ἄλλοις ἐστὶν ἰδεῖν· ὅταν μάθωσιν·
οὐδὲν γὰρ ἄνθρωπος μᾶλλον ἐπιστήσεται ἄνθρωπος γεωμετρικός· ὡς ἐνίοι τοῦ

ἀμέτρῳ μετρεῖται. τίς μὲν οὖν ἡ φύσις τῆς ζητουμένης ἐπιστήμης εἴρηται, καὶ τίς ὁ σκοπὸς οὗ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον. ἐπεὶ δὲ φανερὸν ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων δεῖ λαβεῖν ἐπιστήμην (τότε γὰρ εἰδέναι φαμὲν ἕκαστον, ὅταν τὴν πρώτην αἰτίαν οἰώμεθα γνωρίζειν) τὰ δ' αἴτια λέγεται τετραχῶς, ὧν μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν καὶ τὸ τί ἦν εἶναι. ἀνάγεται γὰρ τὸ διὰ τί πρῶτον, εἰς τὸν λόγον ἔσχατον· αἴτιον δὲ καὶ ἀρχὴ, τὸ διὰ τί πρῶτον. μίαν δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον. τρίτην δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. τετάρτην δὲ τὴν ἀντικειμένην αἰτίαν ταύτῃ, τὸ οὗ ἕνεκεν καὶ τὸ ἀγαθόν. τέλος γὰρ γενέσεως πάσης τοῦτ' ἐστί. τεθεώρηται μὲν οὖν ἱκανῶς περὶ αὐτῶν ἐν τοῖς περὶ φύσεως, ὅμως δὲ παραλάβωμεν καὶ τοὺς πρότερον ἡμῶν εἰς ἐπίσκεψιν τῶν ὄντων ἐλθόντας καὶ φιλοσοφήσαντας περὶ τῆς ἀληθείας. δῆλον γὰρ ὅτι κἀκεῖνοι λέγουσιν ἀρχάς τινας καὶ αἰτίας. ἐπελθοῦσιν οὖν ἔσται τι προὔργου τῇ μεθόδῳ τῇ νῦν. ἢ γὰρ ἕτερόν τι γένος εὑρήσομεν αἰτίας, ἢ ταῖς νῦν λεγομέναις μᾶλλον πιστεύσομεν. τῶν δὴ πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνον ᾠήθησαν ἀρχὰς εἶναι πάντων. ἐξ οὗ γάρ ἐστιν ἅπαντα τὰ ὄντα, καὶ ἐξ οὗ γίνεται πρώτου καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην τὴν ἀρχήν φασιν εἶναι τῶν ὄντων. καὶ διὰ τοῦτο, οὔτε γίνεσθαι οὐθὲν οἴονται, οὔτε ἀπόλλυσθαι, ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σωζομένης. ὥσπερ οὐδὲ τὸν Σωκράτη φαμὲν οὔτε γίνεσθαι ἁπλῶς, ὅταν γίνηται καλὸς ἢ μουσικός, οὔτε ἀπόλλυσθαι, ὅταν ἀποβάλῃ ταύτας τὰς ἕξεις, διὰ τὸ ὑπομένειν τὸ ὑποκείμενον τὸν Σωκράτη αὐτόν, οὕτως οὐδὲ τῶν ἄλλων οὐδέν. δεῖ γὰρ εἶναί τινα φύσιν ἢ μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν γίνεται τἆλλα σωζομένης ἐκείνης. τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς, οὐ τὸ αὐτὸ πάντες λέγουσιν. ἀλλὰ Θαλῆς μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας, ὕδωρ φησὶν εἶναι. διὸ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφήνατο εἶναι, λαβὼν ἴσως τὴν ὑπόληψιν ταύτην ἐκ τοῦ πάντων ὁρᾶν

τὴν

τὴν τροφὴν ὑγρὰν οὖσαν, καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γινόμενον καὶ τούτῳ ζῶν. τὸ δ' ἐξ οὗ γίνεται, τοῦτ' ἐστὶν ἀρχὴ πάντων. διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην, καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν. τὸ δ' ὕδωρ, ἀρχὴ φύσεώς ἐστι τοῖς ὑγροῖς. εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας, οὕτως οἴονται περὶ τῆς φύσεως διαλαβεῖν. ὠκεανόν τε γὰρ καὶ τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ' αὐτῶν στύγα τῶν ποιητῶν. τιμιώτατον μὲν γὰρ, τὸ πρεσβύτατον. ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν. εἰ μὲν οὖν ἀρχαία τις αὕτη καὶ παλαιὰ τετύχηκεν οὖσα περὶ τῆς φύσεως ἡ δόξα, τάχ' ἂν ἄδηλον εἴη. Θαλῆς μέντοι λέγεται οὕτως ἀποφήνασθαι περὶ τῆς πρώτης αἰτίας. Ἵππωνα μὲν γὰρ οὐκ ἄν τις ἀξιώσειε θεῖναι μετὰ τούτων, διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς διανοίας. Ἀναξιμένης δὲ ἀέρα καὶ Διογένης πρότερον ὕδατος καὶ μάλιστ' ἀρχὴν τιθέασι τῶν ἁπλῶν σωμάτων. Ἵππασος δὲ πῦρ ὁ μεταποντῖνος καὶ Ἡράκλειτος ὁ ἐφέσιος. Ἐμπεδοκλῆς δὲ τὰ τέτταρα, πρὸς τοῖς εἰρημένοις γῆν προσθεὶς τέταρτον. ταῦτα γὰρ ἀεὶ διαμένειν καὶ οὐ γίνεσθαι, ἀλλ' ἢ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ διακρινόμενα, εἰς ἕν τε καὶ ἐξ ἑνός. Ἀναξαγόρας δὲ ὁ κλαζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου, τοῖς δ' ἔργοις ὕστερος, ἀπείρους εἶναί φησι τὰς ἀρχάς. σχεδὸν γὰρ ἅπαντα ὁμοιομερῆ καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίνεσθαι καὶ ἀπόλλυσθαί φησι, συγκρίσει καὶ διακρίσει μόνον. ἄλλως δ' οὔτε γίνεσθαι οὔτ' ἀπόλλυσθαι, ἀλλὰ διαμένειν ἀΐδια. ἐκ μὲν οὖν τούτων, μόνην τις αἰτίαν νομίσειεν ἂν τὴν ἐν ὕλης εἴδει λεγομένην. προϊόντων δ' οὕτως, αὐτὸ τὸ πρᾶγμα ὡδοποίησεν αὐτοῖς καὶ συνηνάγκασε ζητεῖν. εἰ γὰρ ὅτι μάλιστα πᾶσα φθορὰ καὶ γένεσις ἔκ τινος ἑνὸς ἢ καὶ πλειόνων ἐστίν, διὰ τί τοῦτο συμβαίνει, καὶ τί τὸ αἴτιον. οὐ γὰρ δὴ τό γε ὑποκείμενον αὐτὸ ποιεῖ μεταβάλλειν ἑαυτό. λέγω δ' οἷον οὔτε τὸ ξύλον, οὔτε ὁ χαλκὸς

αὐτῶν τῶν μεταβαλόντων ἑκάστοτε αὐτῶν. οὐδὲ γὰρ εἰ ὁ μὲν ξύλον κλίνην ποιεῖ ὁ δὲ χαλκὸν ἀνδριάντα· ἀλλ' ἕτερόν τι τῆς μεταβολῆς ἴδιον. ὁ δὲ τοῦ τοιοῦτον ζητεῖν ὅτι, τὸ πόθεν ἑτέραν ἀρχὴν ζητεῖν, ὥσπερ ἡμεῖς φαίνομεν ὁπόθεν ἀρχὴ τῆς κινήσεως. οἱ μὲν οὖν πάντα ἀνάγοντες ἀρχὰς ἀφ' ἁπλῶν τῆς μεθόδου τῆς τοιαύτης, λέγουσιν οὐ δεῖν εἶναι τὸ ὑπομένον, ἀπὸ δὲν ἐδύναμιν ἑαυτοῖς· ἀλλ' ἐξ οἱασηδήποτε ἑνὸς γίνεσθαι τῶν ὄντων, ὡς τοῦ πολλοῦ ὑπὸ τοῦ τῆς τῆς ζητήσεως, τὸ μὴ ἀεὶ μηδὲν φαίνεσθαι· ἀπὸ τῶν φύσιν μόνον κινήσεως φορὰν (τοῦτο γὰρ ἀέρα καὶ πῦρ καὶ τὰ τοιαῦτα μολογήσαν) ἀλλὰ καὶ κατὰ τὸ ἄλλο μεταβολὴ πᾶσα. ἔστι δὲ τὸ αὐτὸ ἴδιον δέξα. τὸ μὲν ἓν μόνον φασκόντων εἶναι τὸ πᾶν, ἀφ' ἑνὸς ἰσωσεβιστέον τοῖς αὐτὸ πᾶσιν συνιδεῖν αἰτίαν, ὡς εἰ ἄρα Παρμενίδης. τοῦτο κατὰ τοσοῦτον, ὅσον ὁ μόνον, ἀλλὰ καὶ δύο ὡς τίθησιν αἰτίας εἶναι· τοῖς δὲ θερμὸν καὶ ψυχρὸν λαμβάνουσιν ὡς ὕλας πυρὸς τὴν φύσιν. ὕδατος γῆς τοιούτοις τοῖς μὲν ἀλληθείας ὡσπερ εἰ πομένοις, τὴν ἐχομένην ζητῆσαι ἀρχήν· τοῦ δὲ καλῶς τὸ μὲν ἔχειν, τὸ δὲ γίνεσθαι τῶν ὄντων, ἴσως οὔτε γῆν οὔτε πῦρ τῶν τοιούτων οὐδὲν οὐτε ἴκος αἴτιον εἶναι· ὅτι κεν εἰκὸς οἰηθῆναι· οὐδὲν τῷ αὐτομάτῳ καὶ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς ἔχειν· νοῦν δή τις εἰπὼν εἶναι καθάπερ ἐν τοῖς ζώοις καὶ ἐν τῇ φύσει τὸν αἴτιον τοῦ κόσμου καὶ τῆς τάξεως πάσης· οἷον νήφων ἐφάνη παρ' ἐκείνους λέγοντας τοὺς πρότερον. φανερῶς μὲν οὖν Ἀναξαγόρας ἔσχεν ἴσμεν ἁψάμενον τούτων τῶν λόγων. αἴτιον δέ ἔχει πρότερον Ἑρμότιμος ὀκλαζομένιος εἰπεῖν· οἱ μὲν οὖν ὕστερον ὑπολαμβάνοντες ἁμαρτῶν καλῶς τὴν αἰτίαν ἀεὶ χωρὶς εἶναι τὰ ὄντων ἔθεσαν μὲν τὴν τοιαύτην. ὅθεν οὐκ ἴκνεισθαι ὑπὸ τῆς φύσεως ἐδόκουν τὴν Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον καὶ εἴ τις ἄλλος ἔρωτα ἢ ἐπι-

θυμίαν ἐν τοῖς οὖσιν ἐποίησεν ὡς ἀρχήν· οἷον καὶ Παρμενίδης. καὶ γὰρ ἐκεῖνος τὴν τοῦ παντὸς γένεσιν, πρῶτον μὲν φησὶν ἐρωτοποιῆσαι θεῶν πάντων· Ἡσίοδος δ', πάντων μὲν πρώτιστα χάος γένετ· αὐτὰρ ἔπειτα πλατύστερνος γαῖ' ἔρως· ὃς πάντεσσι μετέπρεπε ἀθανάτοισιν· ὡς δὲ δεῖ χειν τοῦσιν ὑπάρχειν τιν' αἰτίαν ἥτις κινήσει συνέξει τὰ πράγματα· πρῶτος μὲν ὧδ' ἐκείνου χειρίσαι δοκεῖ τοῦτο τοῖς πρώτοις, ὕστερον δὲ καὶ μᾶλλον ἐπὶ τὰ μαντικὰ τοῖς ἀγαθοῖς φαίνεται τὸ ἐν τῇ φύσει, οὐ μόνον τάξιν ἡγούμενος καλόν, ἀλλὰ καὶ αἰτίαν· ἀλλὰ τὰ μὲν τοιαῦτα τῶν καλῶν, οὕτως ἄλλος τις φιλίαν εἶναι νεῖκος ἢ νοῦν εἶπεν ἢ ἔρωτα· ἕκαστον ἐκάτερον ἐκατέρων αἴτιον τούτων· εἰ δ' ἔστι κολασθοῖ ἢ λαμβάνοι πρὸς τῷ δικαίῳ ἢ μὴ πρὸς ἀφελίζει λέγων Ἐμπεδοκλῆς, δῆλον ἐστὶ τῷ μᾶλλον φιλίαν εἶναι τὰ ἀγαθῶν· τὸ δὲ ἔκ θεν, πῶς καὶ ᾗ ἔστι φαίνεται τρόπον τινὰ ἢ λέγειν, ἅπερ ὧν καὶ ὡς τὸν λέγων τὸ κακὸν ἢ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ' ἂν λέγοι καλῶς· εἴπερ τῶν ἀγαθῶν ἁπάντων αἴτιον, αὐτὸ τὸ ἀγαθὸν ἔστι. τῶν καλῶν, τὸ κακόν· οὕτω μὲν ἁπλῶς περ λέγομεν· καὶ μέχρι τούτου δυεῖν αἰτίαν ἐφήψαντο· ὡς ἡμεῖς διωρίσαμεν ἐν τοῖς περὶ φύσεως ζητεῖν τι ὕλης καὶ τοῦ θεν ἡ κίνησις· ἀμυδρῶς μέν τοι καὶ ἐν δεᾶ φῆς· αὐτοῖον δ' ἐν τοῖς μάχαις οἱ ἀεὶ μασι πρῶτοι· ἐκεῖνοι τοιαῦτα μὲν ὑπὸ τύποις πολλάκις καλοῖς τολμηρός· αὐτὸ δὲ ἐκεῖνοι ἀπὸ ἐπιστήμης ἔστι δ' οἰκασιν εἰδόσι λέγειν ἀλέγουσι· σχεδὸν δ' ὅθεν χώ μενοι φανοῦ ἐρίς· αὐτὴ κίνησις· Ἀναξαγόρας τε μηχανῇ χῆται τῶν πρὸς τὸ κοσμοποιῆσαι ἢ ὁπόταν ἀπορήσῃ, ἀλλὰ τίν αἰτίαν ὀξ αὐτόματος ἔστι, τότε λέγει αὐτό· ἐν δὲ τοῖς ἄλλοις οὐδὲν μᾶλλ' αἰτιᾶται τὶ νομένων ἢ πῶ· καὶ Ἐμπεδοκλῆς ὧν τὸ μὲν τούτῳ χῆται ρὶς αἰτίοις· οὐμὴν οὔτε ἱκανῶς· οὔτε τοῖς διέσκεφ τὸ ὁμολογούμενον· πολλαχοῦ γοῦν αὐτῷ, ἡ μὲν φιλία διακεῖνό· τὸ δ' ἡμᾶς συγκεῖνό· ὅταν μὲν γὰρ εἰς τὸ σὺν χέαι διΐστηται τὸ πῦρ ὑπὸ τοῦ νείκους, τότε τὸ ὕδωρ εἰς τὸν συγκείμενον ἐλθὸν ἄλλον ἐκ τῶν στοιχείων ἕκαστον· ὅταν δὲ

πάντα ὑπὸ τῆς φιλίας συνιόντα εἰς τὸ ἕν, ἀναγκαῖον ἐξ ἑκάστου τὰ μόρια διακεῖσθαι πάλιν. Ἐμπεδοκλῆς μὲν οὖν παρὰ τὴν πρότερον πρῶτος ταύτην τὴν αἰτίαν διελὼν εἰσήνεγκεν, οὐ μίαν παρέσχετο τὴν τῆς κινήσεως ἀρχήν· ἀλλ' ἑτέρας τινὰς ἐναντίας. ἔτι δὲ καὶ τὸ ὡς ἐν ὕλης εἶδος λεγόμενα στοιχεῖα τέτταρα πρῶτος εἶπεν. ἐχρῆτο δὲ τούτοις μὲν ὡς τέτταρσιν, καθάπερ τὸ πῦρ καὶ ἕκαστον τῶν τοιούτων ἁπλῶς ὡς μιᾶς φύσεως οὔσης καὶ ὕδατι· λάβοι δ' ἄν τις αὐτὸ θεωρῶν ἐκ τῶν ἐπῶν. ἔστιν μὲν οὖν ὡς πλείω λέγομεν οὕτως τε καὶ τοσαῦτα εἰρηκέναι ἀρχάς. Λεύκιππος δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναί φασι λέγοντες· οἷον, τὸ μὲν ὂν, τὸ δὲ μὴ ὄν· τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεὸν, τὸ ὄν· τὸ δὲ κενὸν καὶ μανὸν, τὸ μὴ ὄν· διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν τοῦ σώματος· αἰτίας δὲ τούτων ταύτας, ὡς ὕλη καὶ καθάπερ οἱ ποιοῦντες τὴν οὐσίαν, τὰ ἄλλα τοῖς παθήμασιν αὐτῆς γίνεσθαι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς τιθέμενοι τοῦ πάθους, τὸν αὐτὸν τρόπον καὶ οὗτοι τὰς διαφορὰς, αἰτίας τῶν ἄλλων εἶναί φασι· ταύτας δ' εἶναι λέγουσι σχῆμα τε καὶ τάξιν καὶ θέσιν· διαφέρειν γὰρ φασὶ τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ· μόνον δὲ τούτων, ὁ μὲν ῥυσμὸς σχῆμα ἐστὶν ἡ ἀσχημοσύνη, ἡ δὲ διαθιγὴ τάξις ἡ ἐπαφή, ἡ δὲ τροπὴ θέσις· διαφέρει γὰρ τὸ μὲν Α τοῦ Ν σχήματι, τὸ δὲ ΑΝ τοῦ ΝΑ τάξει, τὸ δὲ Η τοῦ Π θέσει· περὶ δὲ κινήσεως ὁθενοῦν ἢ πῶς ὑπάρχει τοῖς οὖσι, διοῦτοι παρὰ πολὺ τοῖς ἄλλοις ἐξαθύμως ἀφῆκαν. περὶ μὲν οὖν τῶν δύο αἰτίων, ὡς πεπλέονται ὅσου τὸν ἐοικέναι ἐξητάκαμεν πρότερον. ἐν δὲ τούτοις ἅπασι τοῖς οἰκαλύμμασι θαυμάσαι τις ἂν μαθημάτων ἁψάμενοι τὸ πρῶτον, ταύτας πρῶτον μὲν ἐξ ἀρχῆς ἐπὶ τὰ φαινόμενα τοῖς ἀνθρώποις, τὰς τούτων ἀρχὰς, ὧν ὁμοίων ἀρχὰς ὠήθησαν εἶναι πάντων· ἐπεὶ ἡ τούτων οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ τούτοις ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὑδατι τοιόνδε· ἄλλον ἢ ἄλλον τῶν ἀριθμῶν δικαιοσύνην

δικαιοσύνην· ἄλλον δὲ τοιονδὶ, ψυχὴν νοῦν· ἕτερον δὲ καιρὸν ἕτερον γάμου· ὡσαύτως δὲ καὶ τῶν ἄλλων ἑκάστου ὁμοίως· ἔτι δὲ καὶ τὰς τῶν ἁρμονιῶν ἕξεις ἐφαίνετο τοῖς ἀριθμοῖς συμπάσας ἐπιδεχόμενα τὰ πάθη καὶ τοὺς λόγους· ἐπεὶδὴ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιωμένα πᾶσιν· οἱ δὲ ἀριθμοὶ πρώτοις τῇ φύσει πρῶτοι δὲ τὰ στοιχεῖα τῶν ἀριθμῶν τοῖς οὖσι στοιχεῖα πάντων εἶναι ὑπέλαβον· καὶ ὅλον τὸν οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν· εἶναι καὶ ἅπαντα τὰ ἐν τῷ οὐρανῷ φαινόμενα μέρη πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συναγόντες, ἐφήρμοττον· καὶ εἴ τινα που λείποι, προσελίττομεν ὅπως ἡμῖν ἅπασα ἡ πραγματεία μεμερισμένη πᾶσαν αὐτοῖς εἶναι τὴν πρᾶξιν μαθηματικήν. λέγω δὲ τὸ δοκεῖν ἐπεὶδὴ τὰ ἐν ἀριθμοῖς δεκὰς εἶναι δοκεῖ πᾶσαν πεφυκέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰς φορὰς μὲν τὰς ἐν τῷ οὐρανῷ, δέκα μὲν εἶναί φασιν, ὄντων δὲ ἐννέα μόνων τῶν φανερῶν, διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσι· περὶ ὧν ἐν ἑτέροις ἡμῖν ἀκριβέστερον· ἀλλ' οὐδὲ ταύτῃ ἐνεχόμεθα, τοῦ λόγου ὅπως λάβωμεν καὶ παρὰ τούτων τίνας εἶναι ἤδη τιθέασι τὰς ἀρχὰς· ἢ πῶς εἰς τοὺς εἰρημένους ἐμπίπτουσιν αἰτίας· φαίνονται δὲ καὶ οὗτοι τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις τοῦ ἀριθμοῦ τοῖς οὖσι, τὸ ἄρτιον καὶ τὸ περιττόν· τούτων δὲ, τὸ μὲν, πεπερασμένον· τὸ δὲ, ἄπειρον· τὸ δὲ ἓν ἐξ ἀμφοτέρων εἶναι τούτων· καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν· τὸν δὲ ἀριθμὸν ἐκ τοῦ ἑνός· ἀριθμοὺς δὲ καθάπερ εἰρηκὸς τὸν ὅλον οὐρανόν· ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς, δέκα λέγουσιν εἶναι τὰς κατὰ συμπλοκὴν λεγομένας συστοιχίας, ἄπειρον· περιττὸν· ἕν· πλῆθος· δεξιὸν· ἀριστερὸν· ἄρρεν· θῆλυ· ἠρεμοῦν· κινούμενον· εὐθύ· καμπύλον· φῶς· σκότος· ἀγαθόν· κακόν· τετράγωνον· ἑτερόμηκες· οὗπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁκροτωνιάτης ὑπολαβεῖν· ἀλλ' ἐγγύς τος παρεκείμενον, ἢ ἐκεῖνοι τὰς ἀρχὰς ἔλαβον τὸν λόγον τοῦτον. ἐγγὺς δ' ἦν καὶ τὴν ἡλικίαν ἂν Ἀλκμαίων ὢν πρεσβύτερος Πυθαγόρου· ἀπεφήνατο δὲ παραπλησίως περὶ τούτων φησὶ γὰρ εἶναι

δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας, οὐχ ὥσπερ οὗτοι διωρισμένας, ἀλλὰ τὰς τυχούσας· οἷον λευκὸν μέλαν· γλυκὺ πικρόν· ἀγαθὸν κακόν· μικρὸν μέγα. οὗτος μὲν οὖν ἀδιορίστως ἀπέρριψε περὶ τῶν λοιπῶν· οἱ δὲ Πυθαγόρειοι, καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο. παρὰ μὲν οὖν τούτων ἀμφοῖν, τοσοῦτόν ἐστι λαβεῖν ὅτι τἀναντία, ἀρχαὶ τῶν ὄντων. τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων, καὶ τίνες αὗταί εἰσι. πῶς μέντοι πρὸς τὰς εἰρημένας αἰτίας ἐνδέχεται συναγαγεῖν, σαφῶς μὲν, οὐ διήρθρωται παρ' ἐκείνων. ἐοίκασι δ' ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν. ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων συνεστάναι καὶ πεπλάσθαι φασὶ τὴν οὐσίαν. τῶν μὲν οὖν παλαιῶν, καὶ πλείω τὰ στοιχεῖα λεγόντων τῆς φύσεως, ἐκ τούτων ἱκανόν ἐστι θεωρῆσαι τὴν διάνοιαν. εἰσὶ δέ τινες οἳ περὶ τοῦ παντὸς ὡς ἂν μιᾶς οὔσης φύσεως ἀπεφήναντο. τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες, οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ τὴν φύσιν. εἰς μὲν οὖν τὴν νῦν σκέψιν τῶν αἰτίων, οὐδαμῶς συναρμόττει περὶ αὐτῶν ὁ λόγος. οὐ γὰρ ὥσπερ ἔνιοι τῶν φυσιολόγων ἓν ὑποθέμενοι τὸ ὄν, ὅμως γεννῶσιν ὡς ἐξ ὕλης τοῦ ἑνός· ἀλλ' ἕτερον τρόπον οὗτοι λέγουσιν. ἐκεῖνοι μὲν γὰρ προστιθέασι κίνησιν, γεννῶντές γε τὸ πᾶν. οὗτοι δ' ἀκίνητον εἶναί φασιν. οὐ μὴν ἀλλὰ τοσοῦτόν γε οἰκεῖόν ἐστι τῇ νῦν σκέψει. Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι. Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην. διὸ καὶ ὁ μὲν πεπερασμένον. ὁ δ' ἄπειρον φησὶν εἶναι αὐτό. Ξενοφάνης δὲ πρῶτος τούτων ἑνίσας. ὁ γὰρ Παρμενίδης τούτου λέγεται μαθητής, οὐδὲν διεσαφήνισεν. οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν. ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας, τὸ ἓν εἶναί φησι τὸν θεόν. οὗτοι μὲν οὖν καθάπερ εἴπομεν ἀφετέοι πρὸς τὴν νῦν ζήτησιν. οἱ μὲν δύο, καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος. Παρμενίδης δὲ μᾶλλον βλέπων, ἔοικέ που λέγειν. παρὰ γὰρ τὸ ὄν, τὸ μὴ ὂν οὐθὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὄν, καὶ ἄλλο οὐθέν. περὶ οὗ σαφέστερον ἐν τοῖς περὶ φύσεως εἰρήκαμεν. ἀναγκαζόμενος δ' ἀκολουθεῖν τοῖς φαινομένοις, καὶ τὸ ἓν μὲν κατὰ τὸν λόγον, πλείω δὲ

κατὰ

κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι· δύο τὰς αἰτίας, καὶ δύο τὰς ἀρχὰς τίθησι πάλιν, θερμὸν καὶ ψυχρόν· οἷον, πῦρ καὶ γῆν λέγων. τούτων δὲ τὸ μὲν κατὰ τὸ ὄν, τὸ θερμὸν τάττει· θάτερον δὲ κατὰ τὸ μὴ ὄν. ἐκ μὲν οὖν τῶν εἰρημένων καὶ παρὰ τῶν συνηδρευκότων ἤδη τῷ λόγῳ σοφῶν, ταῦτα παρειλήφαμεν. παρὰ μὲν τῶν πρώτων, σωματικήν τε τὴν ἀρχήν (ὕδωρ γὰρ καὶ πῦρ καὶ τὰ τοιαῦτα σώματά ἐστι) καὶ τῶν μὲν μίαν, τῶν δὲ πλείους ἀρχὰς τὰς σωματικάς. ἀμφοτέρων μέντοι ταύτας ὡς ἐν ὕλης εἴδει τιθέντων. παρὰ δέ τινων ταύτην τε τὴν αἰτίαν τιθέντων, καὶ πρὸς ταύτῃ τὴν ὅθεν ἡ κίνησις· καὶ ταύτην, παρὰ τῶν μὲν μίαν, παρὰ τῶν δὲ δύο. μέχρι μὲν οὖν τῶν Ἰταλικῶν, καὶ χωρὶς ἐκείνων μετριώτερον εἰρήκασιν οἱ ἄλλοι περὶ αὐτῶν. πλὴν ὥσπερ εἴπομεν, δυεῖν τε αἰτίαιν τυγχάνουσι κεχρημένοι· καὶ τούτων τὴν ἑτέραν, οἱ μὲν μίαν, οἱ δὲ δύο ποιοῦσι, τὴν ὅθεν ἡ κίνησις. οἱ δὲ Πυθαγόρειοι, δύο μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον· τοσοῦτον δὲ προσεπέθεσαν, ὃ καὶ ἴδιόν ἐστιν αὐτῶν, ὅτι τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, καὶ τὸ ἓν, οὐχ ἑτέρας τινὰς ᾠήθησαν εἶναι φύσεις· οἷον, πῦρ, ἢ γῆν, ἤ τι τοιοῦτον ἕτερον· ἀλλ' αὐτὸ τὸ ἄπειρον, καὶ αὐτὸ τὸ ἕν, οὐσίαν εἶναι τούτων ὧν κατηγοροῦνται. διὸ καὶ ἀριθμὸν εἶναι τὴν οὐσίαν ἁπάντων. περί τε τούτων οὖν, τοῦτον ἀπεφήναντο τὸν τρόπον. καὶ περὶ τοῦ τί ἐστιν, ἤρξαντο μὲν λέγειν καὶ ὁρίζεσθαι· λίαν δ' ἁπλῶς ἐπραγματεύθησαν. ὡρίζοντό τε γὰρ ἐπιπολαίως, καὶ ᾧ πρώτῳ ὑπάρξειεν ὁ λεχθεὶς ὅρος, τοῦτ' εἶναι τὴν οὐσίαν τοῦ πράγματος ἐνόμιζον· ὥσπερ εἴ τις οἴοιτο ταὐτὸν εἶναι διπλάσιον καὶ τὴν δυάδα, διότι πρῶτον ὑπάρχει τοῖς δυσὶ τὸ διπλάσιον. ἀλλ' οὐ ταὐτὸν ἴσως ἐστὶ τὸ εἶναι διπλασίῳ καὶ δυάδι. εἰ δὲ μή, πολλὰ τὸ ἓν ἔσται· ὃ κἀκείνοις συνέβαινε. παρὰ μὲν οὖν τῶν πρότερον καὶ τῶν ἄλλων, τοσαῦτά ἐστι λαβεῖν. μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας, ἡ Πλάτωνος ἐπεγένετο πραγματεία· τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν Ἰταλικῶν ἔχουσα φιλοσοφίαν. ἐκ νέου τε γὰρ συγγενόμενος πρῶτον

Κρατύλῳ καὶ τοῖς ἡρακλειτείοις δόξαις, ὡς ἀεί τινων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων. Ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης· ταῦτα μὲν οὕτως ὑπέλαβε. Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐδὲν ἐν μέν τοι τούτοις τὸ καθόλου ἐζήτουν τοῦτος, ηὐτε περὶ ὁρισμῶν ἐπιστήσαντ' πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενοι διὰ τὸ ζητῆσαι περὶ τῶν καθόλου τοιοῦτον ὑπέλαβεν· ὡς περὶ ἑτέρων τοὺς ὁρισμοὺς τούτους εἶναι μόνους καὶ οὐ περὶ τῶν αἰσθητῶν τινος· ἀδύνατον γὰρ εἶναι τὸ κοινὸν ὅρον τῶν αἰσθητῶν τινος ἀεί γε μεταβαλλόντων· οὕτως οὖν τὰ μὲν τοιαῦτα τῶν ὄντων, ἰδέας προσηγόρευσε· τὰ δὲ αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα· καὶ τὰ μέθεξιν δ' εἶναι τὰ πολλὰ τῶν συνωνύμων αὐτοῖς εἰδῶν· τὸ δὲ μέθεξις μόνον μετέβαλε· οἱ μὲν δ' Πυθαγόρειοι, μίμησιν τὸν φασὶν εἶναι τῶν ἀριθμῶν· Πλάτων δὲ, μέθεξιν· τοὔνομα μεταβαλών· τὸ μὲν γοῦν μετέχειν ἢ τὸ μίμησιν, ἥτις αὐτῶν ἂν εἴη τῶν εἰδῶν ἀφεῖσαν ζητεῖν· ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη, τὰ μαθηματικὰ τῶν πραγμάτων ἐν μέσῳ φασὶ μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν, τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι· τῶν δὲ εἰδῶν, τῷ τὰ μὲν πολλὰ παρόμοια εἶναι· τὸ δὲ εἶδος αὐτὸ, τῷ ἕκαστον μόνον· ἐπεὶ δοκεῖ τὰ εἴδη τοῖς ἄλλοις τὰ ἐκείνων στοιχεῖα, πάντων ὑπολαβεῖν τ' ὄντων εἶναι στοιχεῖα· ὡς μὲν οὖν ἡ ὕλη τὸ μέτε καὶ τὸ μικρὸν εἶναι ἀρχάς· ὡς δὲ οὐσίαν τὸ ἕν· ἐξ ἐκείνων γὰρ τὰ κατὰ τὰ μέθεξιν τοιοῦτος τὰ εἴδη εἶναι τοὺς ἀριθμούς· τὸ μὲν τοίνυν ὡς οὐσίαν εἶναι, ἀμήχανον τί τὸ ὂν λέγεσθαι βραχέως τοῖς πυθαγορείοις ἐλέγχειν· τὸ δὲ τοὺς ἀριθμοὺς αἰτίους εἶναι τοῖς ἄλλοις τῆς οὐσίας, ὡσαύτως ἐκείνοις· τὸ δὲ καὶ τὸ σύμπαν ὡς ἑνὸς διάδοχον ποιῆσαι· τὸ δὲ πέρας ἐκ μεγάλου καὶ μικροῦ, τοῦτ' ἔστιν· ἢ ἔτι τὸ μὲν, τοὺς ἀριθμοὺς παρὰ τὰς αἰσθητάς· οἱ δὲ ἀριθμοὺς εἶναί φασιν αὐτὰ τὰ πράγματα· ἢ τὰ μαθηματικὰ μεταξύ τῶν ἐπιφάσει· τὸ μὲν οὖν ἓν, καὶ τὴν ἀριθμῷ οὐσίαν, τὰ πράγματα τε ποιῆσαι, ὡς μιᾷ ὥσπερ οἱ πυθαγόρειοι ἢ τῶν εἰδῶν

εἰσαγωγή

εἰσαγωγὴ διὰ τὴν ἐν τοῖς λόγοις ἐμμονὴν τὸ σκέμμα· οἱ γὰρ πρότεροι, διαλεκτικῆς οὐ μετεῖχον· τὸ δὲ δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν διὰ τὸ τοὺς ἀριθμοὺς ἐξω τῶν πρώτων ὡφυῶς ἐξαιρεῖσθαι τῆς μονάδος, ὥσπερ ἔκτυπα ἐκ μαγείου· καὶ τοι συμβαίνει γε μανικῶς· οὐ γὰρ εὔλογον οὕτω· πῶς μὲν γὰρ ἐκ τῆς ὕλης πολλὰ ποιοῦσιν· τὸ δὲ εἶδος, ἅπαξ γίνεται μόνον· φαίνεται δὲ καὶ μία ὑλὴ μία ἀρκεῖ. ὁ δὲ τὸ εἶδος ὡς φέρων ἐν ὂν, πολλὰς ποιεῖ· ὁμοίως δ' ἔχει καὶ τὸ ἀέξεσθαι πρὸς τὸ ἓν λυ· τὸ μὲν γὰρ ὑπομίαν φασὶ ῥοῦσαν ὀχεῖσθαι· τὸ δὲ ἀέξεσθαι, πολλὰ πολλοῖ· καὶ τοι ταῦτα μιμήματα τῶν ἀρχῶν ἐκείνων ὀνόμ. Πλάτων μὲν οὖν περὶ τῶν ζητουμένων, οὕτως διώρισε· φανερὸν δὲ κ τῶν εἰρημένων, ὅτι δυοῖν αἰτίαιν, ὅτι μόνον κεχρημένος· τῇ τε τοῦ τί ἐστι· καὶ τῇ κατὰ τὴν ὕλην· τὸ γὰρ εἶδος τοῦ τί ἐστιν, αἰτίαν τοῖς ἄλλοις· τοῖς δ' εἴδεσι τὸ ἕν· καὶ τὶς ἡ ὕλη ἡ ὑποκειμένη, καθ' ἣν τὰ εἴδη· τὰ μὲν ὡς τῶν αἰσθητῶν· τὸ δ' ἕν, ὡς τοῖς εἴδεσι λέγεται, ὅτι αὕτη δυάς ἐστι τὸ μέγα καὶ τὸ μικρόν· ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν, τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέρᾳ· ὅπερ μᾶλλόν φαμεν καὶ τῶν προτέρων ὠφελῆσαί τιν' ἂς φιλοσόφους· οἷον, Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν· σωματόμως μὲν οὖν ἀκεφαλαιωδῶς ἐπελήλυθε μυθός τινος τὰ καὶ ὡς τυγχάνουσιν εἰρηκότες, περί τε τῶν ἀρχῶν καὶ τῆς ἀληθείας· ὁμως δ' ἐροῦμεν γε χρῆσθαι αὐτῶν, ὅτι τῶν λεγόντων περὶ ἀρχῆς καὶ αἰτίας, οὐθεὶς ἔξω τῶν ἐν τοῖς περὶ φύσεως εἰμὶν διωρισμένων εἰρηκεν· ἀλλὰ πάντες ἀμυδρῶς μὲν· ἐκείνων δέ πως φαίνονται τινὲς ἀνόντες· οἱ μὲν γὰρ ὡς ὑλικὴν τὴν ἀρχὴν λέγουσιν, ἄν τε μίαν, ἄν τε πλείους ποιῶσι· καὶ ἐάν τε σῶμα, ἐάν τε ἀσώματον τὴν οὐσίαν· οἷον, Πλάτων μὲν τὸ μέγα καὶ τὸ μικρὸν λέγων· οἱ δὲ ταυτικοὶ, τὸ ἄπειρον· Ἐμπεδοκλῆς δὲ, πῦρ· καὶ γῆν· καὶ ὕδωρ· καὶ ἀέρα· Ἀναξαγόρας δὲ τὴν τῶν ὁμοιομερῶν ἀπειρίαν· οὗτοι δὲ πάντες τῆς τοιαύτ' αἰτίας ἐνήμαρτόν εἰσι· καὶ ἔτι ὅσοι ἀέρα

ἢ πῦρ ἢ ὕδωρ ἢ τὸ πυρὸς μὲν πυκνότερον, ἀέρος δὲ λεπτότερον· καὶ γάρ τοιοῦτόν τινες εἰρήκασιν εἶναι τὸ πρῶτον στοιχεῖον. οὗτοι μὲν οὖν ταύτης τῆς αἰτίας ἥψαντο μόνον· ἕτεροι δέ τινες, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως· οἷον ὅσοι φιλίαν καὶ νεῖκος ἢ νοῦν ἢ ἔρωτα ποιοῦσιν ἀρχήν. τὸ δὲ τί ἦν εἶναι καὶ τὴν οὐσίαν, σαφῶς μὲν οὐδεὶς ἀποδέδωκε. μάλιστα δ' οἱ τὰ εἴδη, καὶ τὰ ἐν τοῖς εἴδεσι τιθέντες λέγουσιν. οὔτε γὰρ ὡς ὕλην τοῖς αἰσθητοῖς τὰ εἴδη καὶ τὸ ἓν τοῖς εἴδεσιν, οὔθ' ὡς ἐντεῦθεν τὴν ἀρχὴν τῆς κινήσεως γιγνομένην ὑπολαμβάνουσιν. ἀκινησίας γὰρ αἴτια μᾶλλον καὶ τοῦ ἐν ἠρεμίᾳ εἶναί φασιν. ἀλλὰ τὸ τί ἦν εἶναι ἑκάστῳ τῶν ἄλλων τὰ εἴδη παρέχονται, τοῖς δ' εἴδεσι τὸ ἕν. τὸ δ' οὗ ἕνεκα αἱ πράξεις καὶ αἱ μεταβολαὶ καὶ αἱ κινήσεις, τρόπον μέν τινα λέγουσιν αἴτιον, οὕτω δὲ οὐ λέγουσιν, οὐδ' ὅνπερ πέφυκεν. οἱ μὲν γὰρ νοῦν λέγοντες ἢ φιλίαν, ὡς ἀγαθὸν μέν τι ταύτας τὰς αἰτίας τιθέασιν, οὐ μὴν ὡς ἕνεκά γε τούτων, ἢ ὂν, ἢ γιγνόμενόν τι τῶν ὄντων, ἀλλ' ὡς ἀπὸ τούτων, τὰς κινήσεις εἶναι λέγουσιν. ὡσαύτως δὲ καὶ οἱ τὸ ἓν ἢ τὸ ὂν φάσκοντες εἶναι τὴν τοιαύτην φύσιν, τῆς μὲν οὐσίας αἴτιόν φασιν εἶναι, οὐ μὴν τούτου γε ἕνεκα ἢ εἶναι ἢ γίγνεσθαι. ὥστε λέγειν τε καὶ μὴ λέγειν, πως συμβαίνει αὐτοῖς τἀγαθὸν αἴτιον. οὐ γὰρ ἁπλῶς, ἀλλὰ κατὰ συμβεβηκὸς λέγουσιν. ὅτι μὲν οὖν ὀρθῶς διώρισται περὶ τῶν αἰτίων, καὶ πόσα καὶ ποῖα, μαρτυρεῖν ἐοίκασιν ἡμῖν καὶ οὗτοι πάντες, οὐ δυνάμενοι θιγεῖν ἄλλης αἰτίας. πρὸς δὲ τούτοις ὅτι ζητητέαι αἱ ἀρχαὶ ἢ οὕτως ἅπασαι ἢ τινὰ τρόπον τούτων, δῆλον. πῶς δὲ τούτων ἕκαστος εἴρηκε, καὶ πῶς ἔχει περὶ τῶν ἀρχῶν τὰς ἐνδεχομένας ἀπορίας, μετὰ τοῦτο διέλθωμεν περὶ αὐτῶν. ὅσοι μὲν οὖν ἕν τε τὸ πᾶν καὶ μίαν εἶναί τινα φύσιν ὡς ὕλην τιθέασι, καὶ ταύτην σωματικὴν, καὶ μέγεθος ἔχουσαν, δῆλον ὅτι πολλαχῶς ἁμαρτάνουσι. τῶν γὰρ σωμάτων τὰ στοιχεῖα τιθέασι μόνον, τῶν δὲ ἀσωμάτων οὔ, ὄντων καὶ ἀσωμάτων. καὶ περὶ γενέσεως καὶ φθορᾶς ἐπιχειροῦντες τὰς αἰτίας λέγειν, καὶ περὶ πάντων φυσιολογοῦντες, τὸ τῆς κινήσε-

ὡς

ὡς αἴτιον ἀναιροῦσιν. ἔτι δὲ τὸ τὴν οὐσίαν μηδενὸς αἰτίαν τιθέναι, μηδὲ τὸ τί ἐστι. καὶ πρὸς τούτοις, τὸ ῥᾳδίως τῶν ἁπλῶν σωμάτων εἶναι ἀρχὴν ὁτιοῦν, πλὴν γῆς μὴ δοξάζοντες γένεσιν ἐκ στοιχείων ἢ μεταβολήν, οὐκ ἐπισκεψάμενοι τὴν ἐξ ἀλλήλων γένεσιν πῶς ποιοῦνται. λέγω δὲ πῦρ καὶ ὕδωρ, καὶ γῆν, καὶ ἀέρα. τὰ μὲν γὰρ, συγκρίσει, τὰ δὲ, διακρίσει ἐξ ἀλλήλων γίνεται. τοῦτο δὲ πρὸς τὸ πρότερον εἶναι, καὶ ὕστερον διαφέρει πλεῖστον. μὲν γὰρ ἂν δόξειε στοιχειωδέστατον εἶναι πάντων ἐξ οὗ γίνεται συγκρίσει πρώτου. τοιοῦτον δὲ τὸ μικρομερέστατον καὶ λεπτότατον ἂν εἴη τῶν σωμάτων. διόπερ ὅσοι πῦρ ἀρχὴν τιθέασι, μάλιστα ὁμολογουμένως ἂν τῷ λόγῳ τούτῳ λέγοιεν. τοιοῦτον δὲ καὶ τῶν ἄλλων ἕκαστος ὁμολογεῖ τὸ στοιχεῖον εἶναι, τὸ τῶν σωμάτων. οὐθεὶς γοῦν τῶν ὕστερον ἠξίωσε καὶ ἓν λεγόντων, γῆν εἶναι στοιχεῖον. δῆλον ὅτι διὰ τὴν μεγαλομέρειαν. τῶν δὲ τριῶν ἕκαστον στοιχείων, εἴληφε κριτήν τινα. οἱ μὲν γὰρ πῦρ, οἱ δ' ὕδωρ, οἱ δ' ἀέρα τοῦτ' εἶναί φασι. καίτοι διὰ τί ποτ' οὐ καὶ τὴν γῆν λέγουσιν, ὥσπερ οἱ πολλοὶ τῶν ἀνθρώπων. πάντα γὰρ εἶναί φασι τὴν γῆν. φησὶ δὲ καὶ Ἡσίοδος τὴν γῆν πρώτην γενέσθαι τῶν σωμάτων. οὕτως ἀρχαίαν καὶ δημοτικὴν συμβέβηκεν εἶναι τὴν ὑπόληψιν. κατὰ μὲν οὖν τοῦτον τὸν λόγον, οὔτ' εἴ τις τούτων τι λέγει πλὴν πυρὸς, οὔτ' εἴ τις ἀέρος μὲν πυκνότερον τοῦτο τίθησιν, ὕδατος δὲ λεπτότερον, οὐκ ὀρθῶς ἂν λέγοι. εἰ δ' ἐστὶ τὸ τῇ γενέσει ὕστερον, τῇ φύσει πρότερον, τὸ δὲ συμπεπεμμένον καὶ συγκεκριμένον ὕστερον τῇ γενέσει, τοὐναντίον ἂν εἴη τούτων, ὕδωρ μὲν ἀέρος πρότερον, γῆ δὲ ὕδατος. περὶ μὲν οὖν τῶν μίαν τιθεμένων αἰτίαν οἵαν εἴπομεν, ἔστω ταῦτ' εἰρημένα. τὸ δ' αὐτὸ κἂν εἴ τις ταῦτα πλείω τίθησιν, οἷον Ἐμπεδοκλῆς τέτταρά φησιν εἶναι σώματα τὴν ὕλην. καὶ γὰρ τούτῳ τὰ μὲν ταὐτά, τὰ δ' ἴδια συμβαίνειν ἀνάγκη. γινόμενά τε γὰρ ἐξ ἀλλήλων ὁρῶμεν, ὡς οὐκ ἀεὶ διαμένοντος πυρὸς καὶ γῆς τοῦ αὐτοῦ σώματος. εἴρηται δὲ καὶ ἐν τοῖς περὶ φύ-

σεως ποιεῖ αὐτὸ· καὶ ποιεῖ φησὶ τὸ κινοῦντα αἰτίας, ὥστε ἓν, ἢ δύο θετέον, οὐδὲ ὀρθῶς δὲ τὰ λοιπὰ λόγῳ οἰητέον εἰρῆσθαι πάντως τελέως· ὅλως τε ἀλλοίωσιν ἀναιρεῖσθαι, ἀνάγκη δ' εἶναι τὰ ἐναντία. οὐ γὰρ ἐκ θερμοῦ ψυχρὸ· οὐδ' ἐκ ψυχροῦ θερμὸ, ἢ τί ἂν αὐτὰ αὖ πάσχοι τὸν αὐλόν, ἢ τίς εἴη αὖ μία φύσις ἢ τὸ νοερὸν ἢ πῦρ, ἢ ὕδωρ, ὃ ἐκεῖνός φησιν. Ἅμα ξαληράν δ' εἶτισ ὑπολαβοι δύο λέγειν στοιχεῖα, μάλιστα μὲν ὑπολάβοι ἂν λόγον ὃν ἐκεῖνος αὐτὸς μὲν οὐδὲν ἤρθρωκεν, ἡ κολούθησε μὲν τοῖς ἐξ ἀνάγκης τοῖς λέγουσιν αὐτόν· ἀπὸ τοῦ γὰρ ὄντος καὶ ἄλλως τε φάσκειν μεμῖχθαι τὸν ἀρχὴν πάντα· καὶ διὰ τὸ συμβαίνειν ἀμικτα δεῖν προϋπάρχειν· καὶ διὰ τὸ μὴ πεφυκέναι ὧν τυχόντι μίγνυσθαι τὸ τυχόν. πρὸς δὲ τούτοισ ὅτι τὰ πάθη τῆ συμβεβηκότα χωρίζοιμεν ἂν τῶν οὐσιῶν (τῶν γὰρ αὐτῶν μίξις ἐστὶ καὶ χωρισμὸς) ὁμοίως εἴτισ ἀκολουθήσειε σωμάτων διαιρετῶν. ἃ βούλεται λέγειν, ἴσως ἂν φανείη καινοπρεπέστερον λέγων. ὅτι γὰρ οὐθὲν ἰῶ ἀπεκκεκριμένον, δῆλον ὡς οὐδὲ ἰῶ ἀληθὲς εἰπεῖν κατὰ τὴν οὐσίας ἐκείνοις. λέγω δ' ὅτι οὐ τελευκὸν οὐ τεμέλαν, ἢ φαιὸν, ἢ ἄλλο χρῶμα· καίτοι ἀχρώματον ἰῶ ἂν ἀνάγκης. εἶχε γὰρ αὐτὶ τούτων τῶν χρωμάτων· ὁμοίως δὲ καὶ ἄχυμον ἂν αὐτῷ λόγῳ τούτῳ· οὐ δὲ ἄλλο τῶν ὁμοίων οὐθέν· οὔτε γὰρ τριόν τοιόν τι αὐτὸ εἶναι, οὔτε τροσὸν, οὔτε τί· τῶν γὰρ ἐν μέρει τὶ λεγομένων εἰδῶν ὑπῆρχεν ἂν αὐτῷ· τοῦτο δ' ἀδύνατον μεμιγμένων γε πάντων, ἤδη γὰρ ἂν ἀπεκέκριτο. φησὶ δ' εἶναι μεμιγμένα πάντα πλὴν τὸν νοῦν· τοῦτον δὲ ἀμιγῆ μόνον καὶ καθαρόν· ἐκ δὴ τούτων συμβαίνει λέγειν αὐτῷ τὰς ἀρχὰς, πότερον· τοῦτο γὰρ ἁπλοῦν καὶ ἀμιγὲς· καὶ θάτερον καθάπερ οὖν οἷον τίθεμεν τὸ ἄρτιον πρὶν διαθῆναι καὶ μεταχεῖν εἴδους τινός· ὡς τελείᾳ μὲν ἐστὶ ὀρθῶς, οὕτω καὶ φῶς· βούλεται μέντοι τί παραπλήσιον τοῖς τὸ ὕστερον λέγουσι καὶ τοῖς νῦν φαινομένοις μᾶλλον· ἀλλὰ δὴ οὗτοι μὲν τοῖς περὶ γένεσιν λόγοις καὶ φθορὰν καὶ κίνησιν οἰκείοις τυγχάνουσι μόνοις χρώμενοι τῶν περὶ τοιαύτης οὐσίας καὶ τὰς ἀρχὰς καὶ

ἀρχὰς καὶ τὰς αἰτίας ζητοῦσι μόνον· ὅσοι δὲ περὶ μὲν τὰ πάντων τῶν ὄντων περιοῦσι τὴν θεωρίαν· ἴσως δ' ὀνίων τὰ μὲν αἰσθητά· τὰ δὲ οὐκ αἰσθητὰ τιθέασι, δῆλον, ὡς περὶ ἀμφοτέρων τῶν γενῶν ποιοῦνται τὴν ἐπίσκεψιν· διὸ μᾶλλον ἄν τις ἐν διαπορήσειε περὶ αὐτῶν, πότερον καλῶς, ἢ μὴ καλῶς λέγουσιν εἰς τὴν ἴδιαν νῦν ἡμῖν προαιρεῖσθαι σκέψιν· οἱ μὲν οὖν καλούμενοι πυθαγορικοὶ τοῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις ἐκ τοῦ τέρως χρῶνται τῶν φυσιολόγων· τὸ δεῖν τιθέναι, ὅτι παρέλαβον αὐτὰς ἐκ τῶν αἰσθητῶν· τὰ γὰρ μαθηματικὰ ἀριθμῶν ἄνευ τῶν ἐξ ἀνάγκης περὶ τὴν ἀστρολογίαν διαλέγεσθαι μᾶλλον τοῖς περὶ φύσεως πᾶσι ποιεῖ· γῆν τε γὰρ καὶ οὐρανὸν, καὶ τὰ τοῦ οὐρανοῦ μέρη καὶ τὰ ἔργα, καὶ τηροῦσι τὸ συμβαῖνον. καὶ τοῖς ἀρχαῖς καὶ ταῖς αἰτίαις εἰς ταῦτα καταμαλίσκουσιν ὡς ὁμολογοῦμεν τοῖς ἄλλοις φυσιολόγοις, ὅτι τὸ ὂν τοιοῦτόν ἐστιν, ὅσον αἰσθητόν ἐστι, καὶ περιείληφεν ὁ καλούμενος οὐρανός· τὰς δὲ αἰτίας καὶ τὰς ἀρχὰς ὡς περιεπομένοις ἱκανὰς ὡς λέγεσι καὶ ἐπανιοῦσιν καὶ ἐπὶ τὰ ἀνωτέρω τῶν ὄντων μᾶλλον ἢ τοῖς περὶ φύσεως λόγοις ἁρμοττούσας· ἐκ τῶν μυθολογούντων κίνησιν ἔσεσθαι, πόθεν γε καὶ ἀπείρου μόνου ὑπαρχόντος, ἢ περὶ πεπερασμένου ἀρτίου, οὐθὲν λέγουσιν· ἢ πῶς δυνατὸν αὖθις κίνησιν καὶ μεταβολὴν γένεσιν εἶναι καὶ φθορὰν ἢ τὰ τῶν φερομένων ἔργα καὶ τὸν οὐρανόν. ἔτι δὲ εἰ τεθείη τις αὐτοῖς ἐκ τούτων εἶναι μέγεθος, εἴτε διαχεῖν τοῦ τόπου τινὰ ζόφον ἔσεσθαι, τὰ μὲν κοῦφα· τὰ δὲ βάρη ἔχοντα τῶν σωμάτων· ἐξ ὧν γὰρ ὑπετίθεντο καὶ λέγουσιν, οὐθὲν μᾶλλον περὶ τῶν μαθηματικῶν λέγουσι σωμάτων, ἢ περὶ τῶν αἰσθητῶν· διὸ περὶ πυρὸς ἢ γῆς· ἢ τῶν ἄλλων τῶν τοιούτων σωμάτων, οὐδ' ὅτι οὖν εἰρήκασιν· ἀστὶ οὐθὲν περὶ τῶν αἰσθητῶν οἰκεῖα λέγοντες ἴσως ἐστὶν. ἔτι δὲ πῶς δεῖ λαβεῖν, αἰτία μὲν εἶναι τὸ τοῦ ἀριθμοῦ πάθη καὶ τὸν ἁρμονίαν τὸν κατὰ τὸν οὐρανὸν ὄντων καὶ γινομένων· καὶ ἐξ ἀρχῆς καὶ νῦν· ἀριθμὸν δὲ ἄλλον μηδένα, εἶναι παρὰ τὸν ἀριθμὸν τοῦτον ἐξ οὗ συνέστηκεν ὁ κόσμος· ὁ-

ταμ γὰρ ἐν τῷδὶ μὴ ἔχει μέρη δέξαι καὶ καιρῷ· αὐτοῖς ἢ μικρὰ
ἀνώμοθεν, ἢ κάτωθεν ἀδηλία· καὶ διάκρισις ἢ μίξις· ἀπόδειξιν δὲ λέ
γουσιν, ὅτι τούτων μὴ ἕν ἕκαστον ἀριθμός ἐστι, συμβαίνῃ δὲ καὶ τὸ
ἓν τόπον τινὰ κεκτῆσθαι εἶναι ἅμα σωμάτων μεταβολῆς
δὲ καὶ τὸ ταὐτὸν εἶναι τὰ ἀκολουθεῖν τοῖς τόποις ἑκάστοις· πότε
ρον οἷόν τε ὁ αὐτὸς ἐστιν ἀριθμὸς ὁ ἐν τῷ ὑρανῷ ὢν δεῖ λαβεῖν·
ὅτι τούτων ἕκαστόν ἐστιν, ἢ παρὰ τοῦτον ἄλλος· ὁ μὲν γὰρ Πλά
των, ἕτερον εἶναί φησι· καὶ τοιοῦτον εἶναι καὶ τοὺς ἀριθμοὺς οἴεται καὶ τὴν αὐ-
τὰ εἶναι καὶ τὰς τούτων αἰτίας· ἀλλὰ τοὺς μὲν μονοὺς αἰτί
ους· τούτους δὲ αἰσθητούς· περὶ μὲν οὖν τῶν δυνατῶν, ἀφείσθω
τὸν νῦν· ἱκανὸν γὰρ αὐτῷ ἅψασθαι τοσοῦτον· οἱ δὲ τὰς ἰδέας αἰ-
τίας τιθέμενοι, πρῶτον μὲν ζητοῦντες τῶν ὄντων λαβεῖν τὰς
αἰτίας, ἕτερα τούτοις ἴσα τὸν ἀριθμὸν ἐκόμισαν· ὥσπερ εἴ τις
ἀριθμῆσαι βουλόμενος, ἐλάττω νομίζων μὴ οὖσαν τὴν ἀρίθμησιν
ποιήσαιτο, πολείω δὲ πρίσας ἀριθμοίη· ἔχειν γὰρ ἴσα ἢ οὐκ ἐλάττω τὰ εἰ-
δη ὄντα τούτοις, περὶ ὧν ζητοῦντες τὰς αἰτίας, ἐκ τούτων ἐπῆκεῖνα,
προῆλθον· καθ' ἕκαστον γὰρ ὁμώνυμον τί ἐστι καὶ παρὰ τὰς οὐσί-
ας τῶν τάλλα ἐστὶν ἐπὶ πολλῶν ἓν, καὶ ἐπὶ τῶν δὲ καὶ ἐπὶ τοῖς αἰ-
δίοις· ἔτι δὲ καὶ καθ' οὓς τόπους δείκνυται, ὅτι ἔστι τὰ εἴδη κατ'
οὐδένα φαίνεται τούτων· ἐξ ὧν μὲν γὰρ οὐκ ἀνάγκη γίνεσθαι συλ
λογισμόν· ἐξ ὧν δὲ καὶ οὗ χάριν οἰόμεθα, τούτων εἴδη εἶναι· καὶ
τούτοις γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν εἰδῶν ἔφαμεν πάντων,
ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τὰ ἀποφά-
σεων· καὶ τὸ δὲ τὸ νοεῖν τι φθαρέντων τῶν φθαρτῶν, φάντασμα,
μέρτι τοῦτ' ἔστιν· ἔτι δὲ οἱ ἀκριβέστατοι τῶν λόγων, οἱ μὲν τῶν πρός
τι ποιοῦσιν ἰδέας, ὧν οὐ φασιν εἶναι γένος καθ' αὑτό· οἱ δὲ τὸν
πρός τι ἄνθρωπον λέγουσιν· ὅλως τε ἀναιροῦσιν οἱ περὶ τῶν εἰδῶν
λόγοι, ἐν μᾶλλον εἶναι βούλονται οἱ λέγοντες εἴδη, τοῦτο τὰς ἰδέ
εἶναι· συμβαίνῃ γὰρ μὴ εἶναι τὴν δυάδα πρώτην, ἀλλὰ τὸν ἀριθμὸν
καὶ τὸ πρότερον καὶ ὑστερον· καὶ καθ' ὧν ὁ πάντων ἀκολουθήσαντες

τοῖς

τοῖς περὶ τῶν εἰδῶν δόξαις, ἀναντιώθησαν τοῖς ἀρχαῖς· ἐπεὶ καὶ
τὸ μὴ τὴν ὑπόληψιν καθ' ἣν εἶναί φαμεν τὰς ἰδέας, οὐ μόνον
τῶν οὐσιῶν ἐστὶν εἰδέναι, ἀλλὰ πολλῶν καὶ ἑτέρων· καὶ γὰρ τὸ μόνιμα
εἶναι, οὐ μόνον περὶ τὰς οὐσίας ἀλλὰ καὶ πρὸς τὰ ἄλλα τῶν ὄντων· καὶ
ὡσαύτως οὐ μόνον ὡς οὐσίας εἰσὶν, ἀλλὰ καὶ ἑτέρων· καὶ ἄλλα ἢ
μύρια συμβαίνῃ τοιαῦτα· καὶ τὰδὲ τὸ ἀναγκαῖον καὶ τὰς δό-
ξας τὰς περὶ αὐτῶν, εἰ δεῖ τὰ μεθεκτὰ εἴδη τῶν ὄντων, ἀναγκαῖον ἰδέ
εἶναι μόνον· οὐ γὰρ καὶ τὰ συμβεβηκότα μετέχειν· ἀλλὰ δεῖ ταύτην
ἑκάστου μετέχειν, ἢ μὴ καθ' αὑτοῦ λέγεσθαι· λέγω δ' οἷον εἴ τι αὐ
τῷ πλατύσματι μετέχει, οὗτος ἂν εἴδωλα μετέχει, αἰγὰρ ἔστι συμβεβη
κότα· συμβέβηκε γὰρ τῷ πλατύσματι εἶναι· ὥστε ἔσται οὐσία τὰ
εἴδη· ταῦτα δὲ ἐν ταῖς οὐσίαις σημαίνῃ καὶ κατὰ τί ἔσται τὸ εἶναι φά
ναί τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολλῶν· καὶ εἰ μὲν τὸ αὐτὸ εἴδος τῶν ἰδέ
ὧν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν· οὐ γὰρ μᾶλλον τῷ φθαρ
τῷ δυάδι, ἢ δυάδι τῷ πολλαῖς μὲν, ἀϊδίοις δὲ, τὸ δυάδι εἶναι
ἢ μὴ ταὐτὸν, ἢ ὧν ταύτης ἢ τινός· εἰ δὲ μὴ τὸ αὐτὸ εἴδος, ὁμώ-
νυμα ἂν εἴη· ἢ ὅμοια, ὥσπερ ἂν εἴ τις καὶ λοιπαίνοντα τὸν τε καλλίαν
καὶ τὸ ξύλον· μὴ δὲ μίαν δὲ κοινωνίαν ὧν βλέψας αὐτῶν· πρὸς τί
μάλιστα διαπορήσειεν ἄν τις τί ποτε συμβάλλεται τὰ τοιαῦτα εἴδη τοῖς
αἰδίοις τὴν αἰσθητὴν, ἢ τοῖς γιγνομένοις καὶ τοῖς φθειρομένοις· ἔστι
γὰρ κινήσεως, ἢ τινος τοιαύτης ἢ μιᾶς ἕστιν αἰτία αὐτοῖς· ἀλλὰ
μὴν οὐ δὲ πρὸς τὰ ἐπιστήμας, οὐδὲν βοηθεῖ τὰ τῶν ἄλλων· οὐτε
γὰρ ἡ οὐσία ἐκείνων τούτων (ἐν τούτοις γὰρ ἂν ἦν) ἔστιν εἶδος μὴ ἐν
ὑπάρχον τούτοις μετέχουσιν· ἴσως μὲν γὰρ ἂν ἴσως αἰτία δόξειεν
εἶναι· ὡς τὸ λευκὸν μεμιγμένου τῷ λευκῷ· ἀλλ' οὗτος μὲν ὁ λόγος
λίαν εὐκίνητος, ὃν Ἀναξαγόρας μὲν πρῶτος, Ἕνδοξος δὲ ὕστερος καὶ
ἄλλοι τινὲς ἐλεγον· ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ μὴ ἀδύνατα πρὸς
τὴν τοιαύτην δόξαν· αὐτὰ μὲν, οὐδὲ ἐκ τῶν εἰδῶν ἔστι τὰ μὲν καθ' ἕ-
καστα οὐδένα τρόπον τῶν εἰωθότων λέγεσθαι· τὸ δὲ λέγειν τὰ μὲν καθ' ἕ
καστα τὰ αὐτὰ εἶναι καὶ μετέχειν αὐτῶν τὰ τὰ καθόλου, κενολογεῖν ἐστὶ καὶ

μεταφορὰς λέγομεν ποιητικάς. τί γὰρ δεῖ τὸ ἐργαζόμενον πρὸς
τὰς ἰδέας ἀναβλέπειν. ἐνδέχεται γὰρ μὴ εἶναι αὐτὰ γίγνεσθαι ὅμοι
ον ὅπου μὴ μιᾶς ἕνεκα ἀλλὰ πρὸς ἐκεῖνο. ὥστε τινὰ ὄντα σωκρά
τους μὴ ὄντος, γένοιτ' ἂν οἷός περ σωκράτης. ὁμοίως δὲ καὶ
ὁτιοῦν ἐκ τῶν ὄντων ἢ γιγνομένων ἔσται παράδειγμα τὸ
μένων οὖσαι, χωρὶς εἶναι. ἐν δὲ τῷ φαίδωνι, ὅτι λέγεται. ὡς ἔστι
τὸ εἶναι καὶ τὸ γίγνεσθαι αἰτία τοῦ εἴδη. καίτοι τῶν εἰδῶν ὄντων,
ὅμως οὐ γίγνεται τὰ μετέχοντα, ἂν μὴ ᾖ τὸ κινοῦν. καὶ πολλὰ γί
γνεται τετράπεδα. οἷον, οἰκία. ἢ δάκτυλίδιον. ὧν οὐφαμὲν εἴδη εἶναι. ὡς
τοῦτο ὄντος τοῦ ἐνδέχεσθαι τὰ μὲν ἄλλα εἶναι καὶ γίγνεσθαι καὶ διὰ τοι
αὐτὰ σὰ τίας, οἵας καὶ τὰ ἐνθένδε νῦν. ἔτι εἴπερ εἰσὶν ἀριθμοὶ
τὰ εἴδη, πῶς αἱ τοιόνδε τινὰ πόρον ὁ πυθαγορικὸς ἀριθμοὶ εἰσὶ τὰ ὄντα
τα, οἷον. ὁδὶ μὲν ἀνὸς ἀριθμὸς, ὁδὲ δὲ σωκράτης, ὁδὲ ἢ καλλί
πους. ἐκεῖνοι γοῦν οἷς αἱ τοιοί εἰσιν, οὐδὲ γῆ εἰ οἱ μὲν ἀίδιοι οἱ δὲ
φθαρτοὶ ἄνθρωποι. εἰ δὲ ὁ τὸ λόγῳ ἀριθμῶν τὰ ἐν ταῦθα, οἷον ἡ συμφωνία,
δῆλον ὅτι ἔσται ἐν γένεσιν ὄντων εἰσὶ λόγοι. εἰ δὴ τοῦτο ἡ ὕλη. φανερὸν ὅτι
αὐτοὶ οἱ ἀριθμοὶ, λόγῳ τινὸς ἔσονται ἕτερου πρὸς ἕτερον. λέγω
δὲ οἷον εἰ ἔστιν ὁ καλλίας, λόγος ἐν ἀριθμοῖς τοιοῦτος καὶ γῆς. καὶ
ὕδατος. καὶ ἀέρος. καὶ ὁ αὐτὸς αὖθις, ἄλλων τινῶν ὑποκειμένων, ἐ
σται ἢ ἰδέα ἀριθμὸς ἢ αὐτὸ αὖθις εἴτε ἀριθμός τις ὢν, εἴτε μή,
ὁμοίως ἔσται λόγος ἐν ἀριθμοῖς τισιν. καὶ οὐκ ἀριθμὸς. ἢ γὰρ ἔσται
τις διὰ ταῦτα ὁ ἀριθμός. ἐπεὶ καὶ πολλῶν ἀριθμῶν εἷς ἀριθμὸς ἐστί.
ἆρ' εἰδῶν δὲ, ἐὰν εἶδος ᾖ ὡς. εἰ δὲ μὴ δ' ἆρ' αὐτὸ, ἀλλ' ἐκ τῶν ἀνάριθμ.
οἷον ἐν τῇ μυελαίᾳ, ὡς ἔχουσιν αἱ μοναδες. εἴτε γὰρ ὁμοφυεῖς, πολ
λὰ συμβήσεται ἄτοπα, εἴτε μὴ ὁμοφυεῖς, μήτε αἱ αὐταὶ ἀλλή-

λαις

λαις μήτε αἱ ἄλλαι πᾶσαι πᾶσαις. τίνι γὰρ διοίσουσιν ἀπαθεῖς
οὖσαι. οὐ τιγὰρ οὕτω λογικαῖ ταῦτα, οὐτὸ μολογοῦμεν ἡμᾶς τῇ νοήσει. ἔτι
ἢ ἀναγκαῖον ἕτερόν τινὰ ἀριθμοῦ καὶ τασκευάζειν, περὶ οὗ ἡ ἀ
ριθμητικὴ πᾶσα τοιοῦτον τὸ μεταξὺ λεγόμενον αὐτὸ τίνων, ἢ τί
ἢ ἐκτίνων ἔστιν ἀρχῶν, ἢ διὰ τί τὰ μεταξὺ τῶν δύο τέτρακαὶ οὐ
τῶν. ἔτι καὶ μόνας ἀδύνατον ἐν τῇ δυάδι ἐκατέρᾳ ἐκτιθεῖ πρότερας
δυάδος. καίτοι ἀδύνατον. ἔτι διὰ τί ἐν ὁ ἀριθμὸς συλλαμβα
νόμενος; ἔτι διὰ τοῖς εἰρημένοις. εἰ ἔστιν αἱ μονάδες
διάφοροι ἐχέτω λέγειν, ὡς ἔστι καὶ ὁποιαοῦν τὰ στοιχεῖα τίθεσθαι ἢ
δυὸ λέγουσι καὶ ἃ τούτων ἕκαστον, οὐ τὸ κοινὸν λέγει στοιχεῖον. οἷον, τὸ
σῶμα. ἀλλὰ ποῦ καὶ γῆν, εἴ τις ἔστι τοιοῦτον τὸ σῶμα εἰ τιμὴν δὲ
λέγει ὡς ὄντος τινὸς ὡς περ πυρὸς ἢ ὕδατος ὁμοιομερῶς. εἰ δυοῦτως, οὐκ ἔσονται οἱ ἀριθμοὶ, ἀλλὰ δῆλον ὅτι ἐκ
τῶν αὐτό. ἢ τοῦτο δεῖ ἀρχὴ, πολλαχῶς λεγομένου τοῦ ἓν. ἄλλως γὰρ
ἀδύνατα. ἔτι λόγῳ οἷς τὰς οὐσίας αἰτίας. εἰ στὰς ἀρχὰς, μήκη, μὴ
τίθεται ἐκ μακροῦ καὶ βραχέος, ἐκ τινος μικροῦ καὶ μεγάλου. ἢ
ἐκ πλατέος καὶ στενοῦ. σώματα δὲ ἐκ βαθέος. καὶ τρίτον δὲ ἐκ τοῦ πόρρω
καὶ τρίτον ἐξ ἧς ἡ τοῦ πόρρω γραμμὴ, ἢ τὸ στερεὸν γραμμὴ, καὶ
τοῦ πόρρω. ἄλλως δὲ γῆ ὅσα τὸ πλατὺ καὶ τὸ στερεὸν, καὶ βαθὺ ἢ τα
πεινόν. ὡς περ οὖν οὐδ' ἀριθμὸς ὑπάρχει ἐν αὐτοῖς, ὅτι τὸ πολὺ
καὶ τὸ ὀλίγον ἕτερόν τούτων, δῆλον ὅτι οὐδ' ἄλλου δέν τῶν αὖθις ἔσται
τοῖς κάτω. ἀλλὰ μὴν, ὅ γ' ἀριθμὸς, τὸ πλατὺ τῶν βαθέων. ἴσως γὰρ αὖθις
ποδός τι, τὸ σῶμα. ἔτι αἱ στιγμαὶ ἐκτινος ἐν ὑπάρχουσι. τούτῳ μὲν
οὖν τῷ γένει καὶ διὰ μάχεται Πλάτων ὡς ὄντι στερεμετρικῷ δόγμα
τι. ἀλλ' ἐκ ἁλῶς ἀρχῇ γραμμῆ. τοῦ τοῦ πολλάκις ἐτίθετ' ἀπὸ μὲν
γραμμῆ. καίτοι ἀναγκαῖον τοῦτ' εἶναί τι πέρ. ὥστε δεῖ λόγου γραμ
μήν καὶ στιγμήδεῖν. ὅλως δὲ ζητοῦσι φύσει τῶν φα
νερῶν τὸ αἴτιον, τοῦτο μὲν εἰ ἀκαμψ. οὐθὲν γὰρ λέγομεν περὶ φύ
σεως, ὅθεν ἡ ἀρχὴ φύσει μεταβολῆς. τὴν δ' οὐσίαν οἱ μὲν λέγουσιν αὐ-
τὸ, ἕτέρας οὐσίας εἶναι φασὶν ὅσας δὲ ἐκεῖναι τούτων οὐσίαι.

διὰ κενῆς λέγομεν· τὸ γὰρ μετέχειν ὥσπερ καὶ τὸ πρότερον εἴπομεν, οὐθέν ἐστιν. οὐδὲ δὴ ὅπερ ταῖς ἐπιστήμαις ὁρῶμεν αἴτιον, δι' ὃ καὶ πᾶς νοῦς, καὶ πᾶσα φύσις ποιεῖ· οὐδὲ ταύτης τῆς αἰτίας ἥν φαμεν εἶναι μίαν τῶν ἀρχῶν, οὐδὲν ἅπτεται τὰ εἴδη. ἀλλὰ γέγονε τὰ μαθήματα τοῖς νῦν ἡ φιλοσοφία· φασκόντων ἄλλων χάριν αὐτὰ δεῖν πραγματεύεσθαι. ἔτι δὲ τὴν ὑποκειμένην οὐσίαν, ὡς ὕλην μαθηματικωτέραν ἄν τις ὑπολάβοι, καὶ μᾶλλον κατηγορεῖσθαι καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης· οἷον τὸ μέγα καὶ τὸ μικρόν· ὥσπερ καὶ οἱ φυσιολόγοι φασὶ τὸ μανὸν καὶ τὸ πυκνόν, πρώτας τοῦ ὑποκειμένου φάσκοντες εἶναι διαφορὰς ταύτας· ταῦτα γάρ ἐστιν ὑπεροχή τις καὶ ἔλλειψις. περί τε κινήσεως, εἰ μὲν ἔσται ταῦτα κίνησις, δῆλον ὅτι κινήσεται τὰ εἴδη· εἰ δὲ μή, πόθεν ἦλθεν. ὅλη γὰρ ἡ περὶ φύσεως ἀνῄρηται σκέψις. καὶ ὃ δοκεῖ ῥᾴδιον εἶναι, τὸ δεῖξαι ὅτι ἓν ἅπαντα, οὐ γίνεται· τῇ γὰρ ἐκθέσει οὐ γίνεται πάντα ἕν, ἀλλ' αὐτό τι ἕν, ἂν διδῷ τις πάντα, καὶ οὐδὲ τοῦτο, εἰ μὴ γένος δῷ τὸ καθόλου εἶναι· τοῦτο δὲ ἐν ἐνίοις ἀδύνατον. οὐδένα δὲ ἔχει λόγον, οὐδὲ τὰ μετὰ τοὺς ἀριθμοὺς μήκη τε καὶ ἐπίπεδα, καὶ στερεά· οὔτε ὅπως ἔστιν ἢ ἔσται, οὔτε τίνα ἔχει δύναμιν· ταῦτα γὰρ οὔτε εἴδη οἷόν τε εἶναι (οὐ γάρ εἰσιν ἀριθμοί) οὔτε τὰ μεταξύ (τὰ μαθηματικὰ γὰρ ἐκεῖνα) οὔτε τὰ φθαρτά· ἀλλὰ πάλιν τέταρτον ἄλλο φαίνεται τοῦτό τι γένος. ὅλως τε τὸ τῶν ὄντων ζητεῖν στοιχεῖα μὴ διελόντας πολλαχῶς λεγομένων, ἀδύνατον εὑρεῖν, ἄλλως τε καὶ τοῦτον τὸν τρόπον ζητοῦντας ἐξ οἵων ἐστὶ στοιχείων. ἐκ τίνων γὰρ τὸ ποιεῖν ἢ πάσχειν ἢ τὸ εὐθύ, οὐκ ἔστι δήπου λαβεῖν· ἀλλ' εἴπερ, τῶν οὐσιῶν μόνον ἐνδέχεται· ὥστε τὸ τῶν ὄντων ἁπάντων τὰ στοιχεῖα ἢ ζητεῖν ἢ οἴεσθαι ἔχειν, οὐκ ἀληθές. πῶς δ' ἄν τις καὶ μάθοι τὰ τῶν πάντων στοιχεῖα· δῆλον γὰρ ὡς οὐθὲν οἷόν τε προϋπάρχειν γνωρίζοντα πρότερον. ὥσπερ γὰρ τῷ γεωμετρεῖν μανθάνοντι, ἄλλα μὲν ἐνδέχεται προειδέναι· ὧν δὲ ἡ ἐπιστήμη, καὶ περὶ ὧν μέλλει μανθάνειν, οὐθὲν προγινώσκει· οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων, ὥστ' εἴ τις τῶν πάντων ἐστὶν

ἐπι

ἐπιστήμη, ὥσπερ τινές φασιν, οὐθὲν ἂν προϋπάρχοι γνωρίζων οὗτος. καίτοι πᾶσα μάθησις διὰ προγινωσκομένων ἢ πάντων ἢ τινῶν ἐστί, καὶ ἡ δι' ἀποδείξεως, καὶ ἡ δι' ὁρισμῶν· δεῖ γὰρ ἐξ ὧν ὁ ὁρισμὸς προειδέναι καὶ εἶναι γνώριμα. ὁμοίως δὲ καὶ ἡ δι' ἐπαγωγῆς. ἀλλὰ μὴν εἰ καὶ τυγχάνει σύμφυτος οὖσα, θαυμαστὸν πῶς λανθάνομεν ἔχοντες τὴν κρατίστην τῶν ἐπιστημῶν. ἔτι πῶς τις γνωριεῖ ἐκ τίνων ἐστί· καὶ πῶς ἔσται δῆλον· καὶ γὰρ τοῦτ' ἔχει ἀπορίαν. ἀμφισβητήσειε γὰρ ἄν τις, ὥσπερ καὶ περὶ ἐνίας συλλαβάς· οἱ μὲν γὰρ τὸ σμα ἐκ τοῦ σ καὶ μ καὶ α φασὶν εἶναι, οἱ δέ τινες ἕτερον φθόγγον φασὶν εἶναι, καὶ οὐδένα τῶν γνωρίμων. ἔτι δὲ ὧν ἐστιν αἴσθησις, ταῦτα πῶς ἄν τις μὴ ἔχων τὴν αἴσθησιν γνοίη· καίτοι ἔδει, εἴγε πάντων ταῦτα στοιχεῖά ἐστιν ἐξ ὧν, ὥσπερ αἱ σύνθετοι φωναί εἰσιν ἐκ τῶν στοιχείων. ὅτι μὲν οὖν τὰς εἰρημένας ἐν τοῖς φυσικοῖς αἰτίας ζητεῖν ἐοίκασι πάντες, καὶ τούτων ἐκτὸς οὐδεμίαν ἔχοιμεν ἂν εἰπεῖν, δῆλον καὶ ἐκ τῶν πρότερον εἰρημένων· ἀλλ' ἀμυδρῶς ταύτας· καὶ τρόπον μέν τινα πᾶσαι πρότερον εἴρηνται, τρόπον δέ τινα οὐδαμῶς. ψελλιζομένῃ γὰρ ἔοικεν ἡ πρώτη φιλοσοφία περὶ πάντων, ἅτε νέα τε καὶ κατ' ἀρχὰς οὖσα καὶ τὸ πρῶτον, ἐπεὶ καὶ Ἐμπεδοκλῆς ὀστοῦν τῷ λόγῳ φησὶν εἶναι· τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι καὶ ἡ οὐσία τοῦ πράγματος. ἀλλὰ μὴν καὶ ὁμοίως ἀναγκαῖον καὶ σάρκα καὶ τῶν ἄλλων ἕκαστον εἶναι τὸν λόγον, ἢ μηδὲ ἕν· διὰ τοῦτο γὰρ καὶ σὰρξ καὶ ὀστοῦν ἔσται καὶ τῶν ἄλλων ἕκαστον, καὶ οὐ διὰ τὴν ὕλην, ἣν ἐκεῖνος λέγει πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα. ἀλλὰ ταῦτα ἄλλου μὲν λέγοντος, συνέφησεν ἂν ἐξ ἀνάγκης· σαφῶς δὲ οὐκ εἴρηκε. περὶ μὲν οὖν τῶν τοιούτων δεδήλωται καὶ πρότερον· ὅσα δὲ περὶ τῶν αὐτῶν τούτων ἀπορήσειεν ἄν τις, ἐπανέλθωμεν πάλιν· τάχα γὰρ ἂν ἐξ αὐτῶν εὐπορήσαιμέν τι πρὸς τὰς ὕστερον ἀπορίας:~

ἈΡΙΣΤΟΤΈΛΟΥΣ ΤΩ͂Ν ΜΕΤᾺ ΤᾺ ΦΥΣΙΚᾺ ἌΛΦΑ ΤῸ ἘΛΑΤΤΟΝ.

Ἡ περὶ τῆς ἀληθείας θεωρία, τῇ μὲν χαλεπή, τῇ δὲ ῥᾳδία. σημεῖον δέ, τὸ μήτ' ἀξίως μηδένα δύνασθαι τυχεῖν αὐτῆς, μήτε πάντας ἀποτυγχάνειν. ἀλλ' ἕκαστον λέγειν τι περὶ τῆς φύσεως. καὶ καθ' ἕνα μὲν ἢ μηθὲν ἢ μικρὸν ἐπιβάλλειν αὐτῇ. ἐκ πάντων δὲ συναθροιζομένων γίνεσθαί τι μέγεθος. ὥστ' εἴπερ ἔοικεν ἔχειν καθάπερ τυγχάνομεν παροιμιαζόμενοι, τίς ἂν θύρας ἁμάρτοι; ταύτῃ μὲν ἂν εἴη ῥᾳδία. τὸ δ' ὅλον τι ἔχειν καὶ μέρος μὴ δύνασθαι, δηλοῖ τὸ χαλεπὸν αὐτῆς. ἴσως δὲ καὶ τῆς χαλεπότητος οὔσης κατὰ δύο τρόπους, οὐκ ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν ἡμῖν τὸ αἴτιον αὐτῆς. ὥσπερ γὰρ καὶ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸ φέγγος ἔχει τὸ μεθ' ἡμέραν, οὕτω καὶ τῆς ἡμετέρας ψυχῆς ὁ νοῦς, πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων. οὐ μόνον δὲ χάριν ἔχειν δίκαιον τούτοις ὧν ἄν τις κοινώσαιτο ταῖς δόξαις, ἀλλὰ καὶ τοῖς ἔτι ἐπιπολαιότερον ἀποφηναμένοις. καὶ γὰρ οὗτοι συνεβάλλοντό τι. τὴν γὰρ ἕξιν προήσκησαν ἡμῶν. εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελοποιΐαν οὐκ εἴχομεν. εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο. τὸν αὐτὸν δὲ τρόπον, καὶ ἐπὶ τῶν περὶ τῆς ἀληθείας ἀποφηναμένων. παρὰ μὲν γὰρ ἐνίων παρειλήφαμέν τινας δόξας. οἱ δὲ, τοῦ γενέσθαι τούτους αἴτιοι γεγόνασιν. ὀρθῶς δ' ἔχει καὶ τὸ καλεῖσθαι τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας. θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια, πρακτικῆς δ' ἔργον. καὶ γὰρ ἐὰν τὸ πῶς ἔχει σκοπῶσιν, οὐ τὸ αἴτιον καθ' αὑτὸ, ἀλλὰ πρός τι καὶ νῦν θεωροῦσιν οἱ πρακτικοί. οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας. ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον, οἷον τὸ πῦρ θερμότατον. καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον οὗτο

τῆς θερμότητος. ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. διὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχάς, ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας. οὐ γάρ ποτε ἀληθεῖς, οὐδ' ἐκείναις αἴτιόν τί ἐστι τοῦ εἶναι. ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις. ὥσθ' ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας. ἀλλὰ μὴν ὅτι γ' ἔστιν ἀρχή τις καὶ οὐκ ἄπειρα τὰ αἴτια τῶν ὄντων, οὔτ' εἰς εὐθυωρίαν, οὔτε κατ' εἶδος, δῆλον. οὔτε γὰρ ὡς ἐξ ὕλης, τόδ' ἐκ τοῦδε δυνατὸν ἰέναι εἰς ἄπειρον. οἷον σάρκα μὲν ἐκ γῆς, γῆν δὲ ἐκ τοῦ ἀέρος, ἀέρα δὲ ἐκ πυρός, καὶ τοῦτο μὴ ἵστασθαι. οὔτε ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. οἷον, τὸν μὲν ἄνθρωπον ὑπὸ τοῦ ἀέρος κινηθῆναι, τοῦτον δ' ὑπὸ τοῦ ἡλίου, τὸν δ' ἥλιον ὑπὸ τοῦ νείκους, καὶ τούτου μηδὲν εἶναι πέρας. ὁμοίως δέ, οὐδὲ τὸ οὗ ἕνεκα εἰς ἄπειρον οἷόν τε ἰέναι, βάδισιν μὲν ὑγιείας ἕνεκα, ταύτην δ' εὐδαιμονίας, τὴν δ' εὐδαιμονίαν ἄλλου, καὶ οὕτως ἀεὶ ἄλλο ἄλλου ἕνεκεν εἶναι. καὶ ἐπὶ τοῦ τί ἦν εἶναι ὡσαύτως. τῶν γὰρ μέσων ὧν ἐστί τι ἔσχατον καὶ πρότερον, ἀναγκαῖον εἶναι τὸ πρότερον αἴτιον τῶν μετ' αὐτό. εἰ γὰρ εἰπεῖν ἡμᾶς δέοι τί τῶν τριῶν αἴτιον, τὸ πρῶτον ἐροῦμεν. οὐ γὰρ δὴ τό γ' ἔσχατον. οὐδενὸς γὰρ τὸ τελευταῖον. ἀλλὰ μὴν οὐδὲ τὸ μέσον. ἑνὸς γάρ. οὐδὲν δὲ διαφέρει, ἓν ἢ πλείω εἶναι, οὐδ' ἄπειρα ἢ πεπερασμένα. τῶν δ' ἀπείρων τοῦτον τὸν τρόπον, καὶ ὅλως τοῦ ἀπείρου πάντα τὰ μόρια μέσα ὁμοίως μέχρι τοῦ νῦν. ὥστ' εἴπερ μηδέν ἐστι πρῶτον, ὅλως αἴτιον οὐδέν ἐστιν. ἀλλὰ μὴν οὐδ' ἐπὶ τὸ κάτω οἷόν τε εἰς ἄπειρον ἰέναι, τοῦ ἄνω ἔχοντος ἀρχήν, ὥστ' ἐκ πυρὸς μὲν ὕδωρ, ἐκ δὲ τούτου γῆν, καὶ οὕτως ἀεὶ ἄλλο τι γίνεσθαι γένος. διχῶς γὰρ γίνεται τόδ' ἐκ τοῦδε, μὴ ὡς τόδε λέγεται μετὰ τόδε, οἷον ἐξ ἰσθμίων ὀλύμπια. ἀλλ' ἢ ὡς ἐκ παιδὸς ἀνὴρ μεταβάλλοντος, ἢ ἐξ ὕδατος ἀήρ. ὡς μὲν οὖν ἐκ παιδὸς ἄνδρα γίνεσθαί φαμεν, ὡς ἐκ τοῦ γινομένου τὸ γεγονός, ἢ ἐκ τοῦ ἐπιτελουμένου τὸ τετελεσμένον. ἀεὶ γάρ ἐστι μεταξύ, ὥσπερ τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις, οὕτω καὶ τὸ γινόμενον τοῦ ὄντος καὶ μὴ ὄντος. ἔστι γὰρ ὁ μανθάνων γινόμενος ἐπιστήμων, καὶ τοῦτ' ἔστιν ὃ λέγεται ὅτι γίνεται ἐκ μανθάνοντος ἐπιστήμων. τὸ δ' ὡς ἐξ ἀέρος ὕδωρ, φθειρομένου θατέρου. διὸ ἐκεῖνα μὲν οὐκ ἀνακάμπτει εἰς ἄλληλα. οὐδὲ γίνεται ἐξ ἀνδρὸς παῖς. οὐ γὰρ γίνεται ἐκ τῆς γενέσεως τὸ γινόμενον, ἀλλ' ἔστι μετὰ τὴν γένεσιν. οὕτω γὰρ καὶ ἡμέρα ἐκ τοῦ

οἱ δὲ, μάρτυρα ἀξιοῦσιν ἐπάγεσθαι πρὸ τοῦ· καὶ οἱ μὲν, πάντα ἀ-
ναιροῦσι τοὺς δὲ, λυπεῖ τὸ ἀκριβοῦν, ἢ διὰ τὸ μὴ δύνασθαι συνει-
δέναι ἢ διὰ τὴν μικρολογίαν· ἔχει γάρ τι τὸ ἀκριβοῦν ποιοῦν τι, ὡς
τινα καθ' ἕκαστα περὶ τῶν συμβολαίων, καὶ ἐκ τῶν λόγων· ἀνελεῖν θε-
λήσαντι δοκεῖ· διὸ δεῖ τοῦτο παρεῖναι πρὸς ἕκαστα τοῖς κρίνουσι· ὡς
ἄρα τοῦτον ἅπαντα δεῖ διωρίσθαι καὶ πρότερον ἐπιστήμης· ὅτι δὲ οὐδέτε-
ρον ἐφάδιον λαβεῖν· τὸν διακριβολογίαν τῶν μαθηματικῶν δεῖ
ἐν ἅπασιν ἀπαιτητέον, ἀλλ' ἐν τοῖς μὴ ἐχουσιν ὕλην· διὸ περ οὐ
φυσικοῦ ὁ πρόπος· ἅπασα γὰρ ἴσως ἡ φύσις ἐχει ὕλην· διὸ σκεπτέ-
ον περὶ φύσεως· οὕτω γὰρ καὶ περὶ τὴν θεωρητικὴν ἢ φυσικὴν δῆ-
λον ἔσται· καὶ εἰ μιᾶς ἐπιστήμης ἢ πλειόνων·

τὰς αἰτίας καὶ τὰς ἀρχὰς θεωρητέας εἶναι·

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ, ΤΟΜΟΣ Β.

ΑΝάγκη πρὸς τὴν ἐπιζητουμένην σκέψιν ἐλθεῖν ἡμᾶς πρῶτον, περὶ ὧν ἀ-
πορῆσαι δεῖ πρῶτον· καὶ τἆλλα δέστιν ὅσα περὶ αὐτὰ ἁμωσὶ ὑπειλήφασί τινες καὶ εἴτι
χωρὶς τούτων τυγχάνοι πρώτην παρεωραμένον· δέστι δὲ τοῖς μὲν βουλομένοις
πρόσταγμα διαπορῆσαι καλῶς· ἡ γὰρ ὕστερον εὐπορία λύσις τῶν πρότερον ἀπόρων μύθων δέστι· λύσαι δ' οὐκ
δέστιν ἀγνοοῦντα τὸν δεσμόν· ἀλλὰ φῶ διανοίας ἀπορία, δηλοῖ
τοῦτο περὶ τὸ πράγμα· ἡ γὰρ ἀπορεῖ, ταύτῃ παραπλήσιον πέπονθε τοῖς δεδεμένοις· ἀδύνατον γὰρ ἀμφοτέρῃ προ-

πρωϊ, ὅτι μετὰ τοῦτο· δὸ δὲ τὸ πρωϊ δεδήλωται μέρος· θάτερα δὲ ἀναγκαῖα
ἀμφοτέρῃ δὲ ἀδύνατον εἰς ἄπειρον ἰέναι· τῷ μὲν γὰρ ὄντι μεταξύ,
ἀνάγκη τέλος εἶναι· πρὸς δὲ εἰς ἄλληλα ἀνακάμπτῃ· ἡ γὰρ θατέρου φθο
ρὰ, θατέρου δέστι γένεσις· ἅμα δὲ ἀδύνατον τὸ πρῶτον αἴδιον, φθαρῆ
ναι· ἐπεὶ γὰρ ἐκ ἀπείρου ἡ γένεσις ἐστὶ τοῦ ἄνω, ἀνάγκη δεδομένου φθαρέντο
πρώτου γίγνεσθαι, μηδ' ἐξ ἀδύνατον· ἔτι δὲ τὸ δι' ἕνεκα, τέλος·
ριστὸν δὲ τὸ μὴ ἄλλου ἕνεκα· ἀλλὰ πρὸς ἄλλα εἶναι· ὥστε μέχρι τοιούτου
τὸ ἔσχατον, ἐκ ἔσται ἄπειρον· εἰ δὲ μηθὲν τοιοῦτον, ἐκ ἔσται τὸ οὗ ἕνεκα· ἀλ
λοῖ τὸ ἄπειρον πριστὸν, λανθάνοντός τινος τῶν ἀγαθοῦ φύ
σιν· καίτοι τοιοῦτόν γε οὐδὲν ἐγχειρήσειν οὐθὲν πρᾶξαι, μὴ μέλλων ὡς ἔ-
ξειν, ὅδεν εἴληφεν ἐκεῖνο τὸ πρῶτον· ἕνεκα γὰρ τοῦ ἀεὶ πρᾶξις ὑπάρχει·
Τὸ μὲν γὰρ δέστι ὡς· τὸ δὲ τέλος, ὡς δέστιν· ἀλλὰ μὴν, οὐδὲ τὸ τέλειον εἶναι δύναται
ταὐτὸν ἀναιρεῖσθαι εἰς ἄλλο δεόμενον ὡς λόγου· ἀεὶ τὸ πρῶτον
ὅ ἐστι πρόσθεν μᾶλλον· ὁ δὲ ἄπειρος ἐκ δέστι· ὅδε γὰρ τὸ πρῶτον μὴ δέστι, οὐδὲ τὸ ἐ-
χόμενον δέστιν· ἔτι τὸ ὠθίσασθαι ἀναιρεῖσιν οἱ ὠθοῦντες· ὅδε γὰρ οἷόν τε εἶ
ναι, πρὶν εἰς τὰ ἄκρα ἐλθεῖν· μὴ τὸ γνώμονα ἐκ ἔστι τὰ γὰρ ὄντα ἄ-
πειρα, πῇ ἐνδέχεσθαι μόνον· οὐ γὰρ ὁμοίως τῇ γραμμῇ, ἢ τῷ διαιρεῖσθαι
μὴν ὁ χωρισμὸς μοῦσα οὐκ ἔστι μὴ δίσασαν· διὸ πῇ ἐκ ἀριθμήσει τὸ
μὲ ὁ τὸ ἄπειρον ἀνεξιόν· ἀλλὰ μὴ τὴν ὑλικὴν κίνησιν ὁμοίως νοεῖν ἀνάγκη, μὴ
ἀπείρου, ὅδεν ὅδεν εἶναι· εἰ δὲ μὴ, ἐκ ἄπειρον ἔσται, τὸ ἀπείρου εἶναι· ἀλ
λὰ μὴν εἰ ἄπειρα ἦσαν τὸν εἰδῶν αἴτιον, οὐκ ἂν ἦν οὐ
σία τῷ γνώσει· ὑποτεθείσθω δὲ, ὅτι τὰ αἴτια πλείω μὲν
τὸ δὲ ἄπειρον καθ' ἕκαστον, ἐκ ἔστιν ἐν πεπερασμένῳ διελθεῖν·
αἱ δὲ κατὰ συμβεβηκὸς καθ' ἑαυτὰ συμβαίνουσιν· ὡς γὰρ εἰώθαμεν, οὕτως
ἀξιοῦμεν λέγεσθαι, καὶ τὸ παρὰ ταῦτα οὐχ ὁμοίως φαίνεται· ἀλ
λὰ δεῖ τῶν ἀσωμάτων, ἀνωνυμότερα ἢ ξενικώτερα· τὸ γὰρ σύ-
μπαν, πλείω μᾶλλον· ἐλάττω δὲ ἐχειν τὸ ζώπαν, οἷον ὁμοίως
λοῦσιν, ἐν οἷς τὰ μυθώδη καὶ πλείω δεικνύουσιν ἐχόμενα τῶν φυσι
κῶν περὶ αὐτῶν δεῖ τὸ ἔθος· οἱ μὲν οὖν ἐὰν μὴ μαθηματικῶς
λέγῃ τις, οὐκ ἀπαδέχονται τῷ λεγόντι· οἱ δὲ μηδὲν μαθηματικῶς·

οἱ δὲ

θεῖν εἰς τὸ ἔμπροσθεν. ἀφ' ὧν δὲ τὰς δυσχερείας τιθεωρημένας πάσας
πρότερον, πρότερα τιχάρακτα καὶ ἀφ' ὧν τὸ ζητοῦντας ἀνάγκη ἐμπεσεῖν
ῥηθῆναι πρῶτον, ὁμοίως εἶναι τῷ περὶ ἀρχῶν βαδίζειν ἀνόδους. καὶ πρὸς τοῦ
τοις, οὐδὲ περὶ τοῦ ζητοῦντος μόνον ἦν ἡ μὴ γνῶσις ἀφορισμένου τὸ
τέλος. τῷ γὰρ καλῶς ἔχοντι τῆς ἀπορήσεως ἦν ἂν βέλ-
τιον αὐτὰς ἀνάγκη ἔχειν πρὸς τὸ κεῖναι, καθάπερ καὶ ἐν τοῖς
φιλοκρίνουσι λόγοις ἀκήκοέ τις πολλάκις. πρώτη
μὲν περὶ ὧν ἐν τοῖς προφροιμιασμένοις ἀπορήσαμεν. πότερον
μία ἢ πλείω ἐστὶ θεωρῆσαι τὰς αἰτίας. καὶ πότερον
ἀρχὰς ἢ στοιχεῖα ἢ ἰδέαι μόνον, ἢ καὶ περὶ
αὐτῶν ἐξ ὧν ἀπαρτίζουσι τὰ ὄντα ἐστὶν ἢ οὐκ ἔστιν. οἷον πότερον ἐν ἢ πλείω
ἀφανίζειν ἢ μὴ φανίζειν ἢ οὐ. καὶ πότερον ἐν ἢ πλείω τοιαῦτα, εἶτα
περὶ τῶν οὐσιῶν. πότερον μία περὶ πάσας, ἢ πλείονες εἰσὶ καὶ
πλείονες, οἷον ἢ περὶ, ἃ πάσας συνηγμένας ἢ τὰς μὲν, οἷον φυ-
λόττειν λεκτέον αὐτά. ἔτι τοῦ μὲν ἀναγκαίων ἢ ζητῆσαι,
πόθεν τὰ αἰσθητὰς ἀΐδια μόνον φατέον, ἢ καὶ παρὰ ταῦτ' ἄλ
λα. καὶ πότερον χωρὶς, ἢ πλείονα μὲν ἀΐδια δ' οἷον, οἷον τὰ ἰδιοῦντα
τούτων εἶδη. ἔτι τὸ μαθηματικὰ μεταξὺ τούτων καὶ αἰσθητῶν.
πειρᾶσθαι τούτων οὖν καθάπερ φαμὲν ὠφέλιμον καὶ πότερον περὶ
τὰ οὐσίας ἢ θεωρεῖν μόνον ἢ καὶ περὶ τὰ συμβεβηκότα καθ' αὑτὰ τοῖς
οὐσίαις. ἔτι δὲ τούτοις, περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου
καὶ ἀνομοίου. καὶ περὶ ταὐτότητος, καὶ ἐναντιότητος, καὶ περὶ προτέρου
καὶ ὑστέρου καὶ τῶν ἄλλων ὧν τοιούτων, περὶ ὅσων οἱ διαλε-
κτικοὶ πειρῶνται σκοπεῖν. ἐκ τῶν ἐνδόξων μόνον ποιοῦντες
τὸ σκέψιν. τίνων δὲ θεωρῆσαι περὶ πάντ' ἐστὶ τούτοις αὐ-
τοῖς ὅσα καθ' αὑτὰ συμβέβηκε, καὶ μὴ μόνον τόδε τοῦτ' ἕκαστον. ἀλ-
λὰ καὶ ἀρχὰς ἐναντίων. καὶ πότερον αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα τὰ
γένη ἐστὶν, ἢ εἰς ἃ διαιρεῖται ἕκαστον ἐνυπάρχοντα. καὶ εἰ τὰ γένη,
πότερον ὅσα ἐστὶ τοῖς ἀτόμοις λέγεται τελευταῖα, ἢ τὰ πρῶτα,
οἷον, πότερον ζῷον, ἢ ἄνθρωπος ἀρχή τε καὶ μᾶλλον ἐστὶ παρὰ τὸ
καθ' ἕκαστον.

καθ' ἕκαστ[α]. μάλιστα δὲ ζητητέ[ον] περὶ τοῦ πρώτου. τί ἐστι πρῶ
τον ἢ οὐθέν. ἢ οὐδὲ πᾶν πρὸς πᾶν, ἀλλ' ἔστι τι φύσει πρῶτον καὶ
ἄλλο καὶ ἄλλο, οἷον ἢ τὸ ἐν τῷ ποσῷ καὶ ἡ γραμμὴ τῆς ἐπιφανείας
καὶ ἡ ἐπιφάνεια τοῦ στερεοῦ. ἔτι δὲ τὸ τοιοῦτον ἢ τὸ ἐν τῷ τί ἐστιν
ἢ τὸ ἐν τῷ ποιῷ. ἔτι δὲ τὸ κινητὸν ἢ τὸ ἀκίνητον πρότερον, καὶ
μᾶλλον τὸ κινούμενον ἢ τὸ ἐν κινήσει ἢ τὸ κινητικόν. ἔτι δὲ τὸ
τῶν ἐναντίων ἢ τὸ ἀπλοῦν ἢ τὸ ἐναντίον. ἔτι δὲ τὸ τῶν ἐναντίων
ἢ τὸ ἐν τῷ ὑποκειμένῳ, ἢ ἐπὶ τοῦ ὑποκειμένου ἢ τὸ ἐν τῷ λόγῳ ἢ τὸ
μιᾶς ἢ πολλῶν ὄντων ἀρχὴν εἶναι τὸ ἀκίνητον ἢ τὸ τοῦτο
θεῖ φύσιν. εἰ δὲ μὴ ἄπειρον ὂν ἢ ἀγαθὸν καθαῦτο ἢ τῷ ἀληθὲς ἢ τῷ αὐτῷ
φύσιν, τέλος δὲ μὴ ἕνεκα αἴτιον, ὅτι εἰκῇ ἐγένετο καὶ ἔστιν καὶ ἔσται
πολλάκις. ἔτι δὲ τὸ μὴ ἕνεκα, πράξεώς ἐστι τέλος. αἱ δὲ πρά
ξεις πᾶσαι μετὰ κινήσεως. ὥστε ἐν τοῖς ἀκινήτοις, οὐκ ἂν εἴη ἀρ
χὴ τοιαύτη τις εἶναι τὸ ἀγαθόν. διὸ καὶ ἐν
τοῖς μαθήμασιν, οὐδὲν δείκνυται διὰ τὸ τοῦτο αἰτίας. οὐδ' ἔστιν ἀ
πόδειξις περὶ μίας, οὐδὲ τὸ βέλτιον ἢ χεῖρον. ἀλλοῦ δὲ τὸ παράπαν μέν

μνηται οὐδεὶς οὐδενὸς τῶν τοιούτων· ὥστε διὰ ταῦτα τῶν σοφιστῶν τινες οἷον Ἀρίστιππος προεπηλάκιζεν αὐτάς· ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις καὶ ταῖς βαναύσοις αὐτῶν, οἷον ἐν τεκτονικῇ καὶ σκυτικῇ, διότι βέλτιον ἢ χεῖρον λέγεσθαι πάντα· τὰς δὲ μαθηματικὰς οὐδένα ποιεῖσθαι λόγον περὶ ἀγαθῶν καὶ κακῶν. ἀλλὰ μὴν εἴ γε πλείους ἐπιστῆμαι τῶν αἰτίων εἰσὶ καὶ ἑτέρα ἑτέρας ἀρχῆς, τίνα τούτων φατέον εἶναι τὴν ζητουμένην, ἢ τίνα μάλιστα τοῦ πράγματος τοῦ ζητουμένου ἐπιστήμονα τῶν ἐχόντων αὐτάς· ἐνδέχεται γὰρ τῷ αὐτῷ πάντας τοὺς τρόπους τῶν αἰτίων ὑπάρχειν. οἷον, οἰκίας, ὅθεν μὲν ἡ κίνησις ἡ τέχνη καὶ ὁ οἰκοδόμος· οὗ δ᾽ ἕνεκα, τὸ ἔργον· ὕλη δὲ, γῆ καὶ λίθοι· τὸ δ᾽ εἶδος, ὁ λόγος. ἐκ μὲν οὖν τῶν πάλαι διωρισμένων, τίνα χρὴ καλεῖν τῶν ἐπιστημῶν σοφίαν, ἔχει λόγον ἑκάστην προσαγορεύειν· ᾗ μὲν γὰρ ἀρχικωτάτη καὶ ἡγεμονικωτάτη καὶ ᾗ ὥσπερ δούλας οὐδ᾽ ἀντειπεῖν τὰς ἄλλας ἐπιστήμας δίκαιον, ἡ τοῦ τέλους καὶ τἀγαθοῦ τοιαύτη· τούτου γὰρ ἕνεκα τἆλλα· ᾗ δὲ τῶν πρώτων αἰτίων καὶ τοῦ μάλιστα ἐπιστητοῦ, διωρίσθη εἶναι, ἡ τῆς οὐσίας ἂν εἴη τοιαύτη· πολλαχῶς γὰρ ἐπισταμένων τὸ αὐτὸ, μᾶλλον μὲν εἰδέναι φαμὲν τὸν τῷ εἶναι γνωρίζοντα τί τὸ πρᾶγμα, ἢ τῷ μὴ εἶναι· αὐτῶν δὲ τούτων, ἕτερον ἑτέρου μᾶλλον, καὶ μάλιστα τὸν τί ἐστιν, ἀλλ᾽ οὐ τὸν πόσον ἢ ποῖον ἢ τί ποιεῖν ἢ πάσχειν πέφυκεν. ἔτι δὲ καὶ ἐν τοῖς ἄλλοις, τὸ εἰδέναι ἕκαστον καὶ ὧν ἀποδείξεις εἰσὶ, τότ᾽ οἰόμεθα ὑπάρχειν, ὅταν εἰδῶμεν τί ἐστιν· οἷον, τί ἐστι τὸ τετραγωνίζειν, ὅτι μέσης εὕρεσις· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. περὶ δὲ τὰς γενέσεις καὶ τὰς πράξεις καὶ περὶ πᾶσαν μεταβολὴν, ὅταν εἰδῶμεν τὴν ἀρχὴν τῆς κινήσεως· τοῦτο δ᾽ ἕτερον καὶ ἀντικείμενον τῷ τέλει· ὥστ᾽ ἄλλης ἂν δόξειεν ἐπιστήμης εἶναι, τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαστον. ἀλλὰ μὴν καὶ περὶ τῶν ἀποδεικτικῶν ἀρχῶν, πότερον μιᾶς ἐστὶν ἐπιστήμης, ἢ πλειόνων, ἀμφισβητήσιμόν ἐστι. λέγω δὲ ἀποδεικτικὰς τὰς κοινὰς δόξας ἐξ ὧν ἅπαντες δεικνύουσιν· οἷον ὅτι πᾶν ἀναγκαῖον ἢ φάναι ἢ ἀποφάναι· καὶ ἀδύ-

νατον ἅμα,

νατον ἅμα εἶναι καὶ μὴ εἶναι, καὶ ὅσαι ἄλλαι τοιαῦται προτάσεις· πότερον μία τούτων ἐπιστήμη καὶ τῆς οὐσίας, ἢ ἑτέρα. κἂν εἰ μὴ μία, ποτέραν χρὴ προσαγορεύειν τὴν ζητουμένην. μιᾶς μὲν οὖν οὐκ εὔλογον εἶναι· τί γὰρ μᾶλλον γεωμετρίας ἢ ὁποιασοῦν περὶ τούτων ἐστὶν ἴδιον τὸ ἐπαΐειν. εἴπερ οὖν ὁμοίως μὲν ὁποιασοῦν ἐστιν, ἁπασῶν δὲ μὴ ἐνδέχεται, ὥσπερ οὐδὲ τῶν ἄλλων, οὕτως οὐδὲ τῆς γνωριζούσης τὰς οὐσίας, ἴδιόν ἐστι τὸ γιγνώσκειν περὶ αὐτῶν. ἅμα δὲ καὶ τίνα τρόπον ἔσται αὐτῶν ἐπιστήμη· τί μὲν γὰρ ἕκαστον τούτων τυγχάνει ὂν, καὶ νῦν γνωρίζομεν· χρῶνται οὖν ὡς γιγνωσκομένοις αὐτοῖς, καὶ ἄλλαι τέχναι. εἰ δὲ ἀποδεικτικὴ περὶ αὐτῶν ἐστι, δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὲν πάθη, τὰ δ᾽ ἀξιώματα αὐτῶν· περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι· ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι, καί τινων τὴν ἀπόδειξιν· ὥστε συμβαίνει πάντων εἶναι γένος ἕν τι τῶν δεικνυμένων· πᾶσαι γὰρ αἱ ἀποδεικτικαὶ χρῶνται τοῖς ἀξιώμασιν. ἀλλὰ μὴν εἰ ἑτέρα ἡ τῆς οὐσίας καὶ ἡ περὶ τούτων, ποτέρα κυριωτέρα καὶ προτέρα πέφυκεν αὐτῶν· καθόλου γὰρ μάλιστα καὶ πάντων ἀρχαὶ τὰ ἀξιώματά ἐστιν. εἴ τ᾽ ἐστὶ μὴ τοῦ φιλοσόφου, τίνος ἔσται περὶ αὐτῶν ἄλλου τὸ θεωρῆσαι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ὅλως τε τῶν οὐσιῶν πότερον μία πασῶν ἐστιν, ἢ πλείους ἐπιστῆμαι. εἰ μὲν οὖν μὴ μία, ποίας οὐσίας θετέον τὴν ἐπιστήμην ταύτην· τὸ δὲ μίαν πασῶν, οὐκ εὔλογον· καὶ γὰρ ἂν ἀποδεικτικὴ μία περὶ πάντων εἴη τῶν καθ᾽ αὑτὰ συμβεβηκότων, εἴπερ πᾶσα ἀποδεικτικὴ περί τι ὑποκείμενον θεωρεῖ τὰ καθ᾽ αὑτὰ συμβεβηκότα ἐκ τῶν κοινῶν δοξῶν. περὶ οὖν τὸ αὐτὸ γένος, τὰ συμβεβηκότα καθ᾽ αὑτὰ, περὶ αὐτῆς ἐστι θεωρῆσαι ἐκ τῶν αὐτῶν δοξῶν. περί τε γὰρ ὃ, μιᾶς, καὶ ἐξ ὧν, μιᾶς· εἴτε τῆς αὐτῆς, εἴτε τῆς ἄλλης· ὥστε καὶ τὰ συμβεβηκότα, εἴθ᾽ αὗται θεωροῦσιν, εἴτ᾽ ἐκ τούτων μία. ἔτι δὲ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν, ἢ καὶ περὶ τὰ συμβεβηκότα ταύταις· λέγω δ᾽ οἷον, εἰ τὸ στερεὸν οὐσία τίς ἐστι καὶ γραμμαὶ καὶ ἐπίπεδα, πότερον τῆς αὐτῆς ταῦτα γνωρίζειν ἐπιστήμης, καὶ τὰ συμβεβηκότα

περὶ ἕκαστον γένος περὶ ὧν μαθηματικαὶ δόξαι νῦν εἰσιν, οἷον περὶ
ἐμψύχων καὶ φυτῶν, ἀναγκαῖον ἴσως καὶ περὶ τῆς οὐσίας ἐπισκοπεῖν
καὶ περὶ τοῦ τί ἐστιν ἀπόδοσιν εἶναι· εἶτα τίρας, τίς ἐστιν ἡ θεωροῦσα
περὶ τὴν οὐσίαν τὴν συμβεβηκότα. τοῦτο γὰρ ἀποδοῦναι παντελῶς
ἔτι δὲ πότερον τὰ αἰσθητὰ τὴν οὐσίαν μόνας εἶναι φατέον,
ἢ καὶ παρὰ ταύτας ἄλλας· καὶ πότερον μοναχῶς ἢ πλείω γένη τυγχάνει ὄντα· οἷον οἱ λέγοντες τά τε εἴδη καὶ τὰ μεταξύ, περὶ ἃ τὰς μαθηματικὰς εἶναί φασιν ἡμῖν ὡς μὲν οὖν λέγομεν τὰ εἴδη αἴτιά τε καὶ οὐσίας εἶναι καθ' αὑτάς, εἴρηται ἐν τοῖς πρώτοις λόγοις περὶ αὐτῶν· πολλαχῇ δὲ ἐχόντων δυσκολίαν, οὐδὲ μὴν τὸ μέσον, τὸ φάναι μὲν εἶναί τινας φύσεις παρὰ τὰς ἐν τῷ οὐρανῷ· ταύτας δὲ τὰς αὐτὰς φάναι τοῖς αἰσθητοῖς· πλείω, ὅτι μὲν, ἴσμεν, τὰ δὲ φθαρτὰ αὐτὰ γὰρ ἄνθρωπόν φασιν εἶναι καὶ ἵππον καὶ ὑγίειαν· ἀλλοδοῦ δὲν· παρὰ πλήσιον μέντοι θεοὺς μὲν εἶναι φάσκουσιν, ἀνθρωποφυεῖς δέ· οὔτε γὰρ εἰ εἶεν οἱ θεοὶ ἄλλο ἐποίουν ἢ ἀνθρώπους αἰδίους, οὔθ' οἱ τὰ εἴδη ἀλλ' ἢ αἰσθητὰ ἀΐδια ἔτι ἔστιν παρὰ τὰ εἴδη καὶ τὰ αἰσθητά, τὰ μεταξὺ θήσει, πολλὰς ἀπορίας ἐξ ὧν λέγει· ὡς ὁμοίως γραμμάς τε παρὰ τὰς ἐν τοῖς αἰσθητοῖς ἴσομεν καὶ ἕκαστον τῶν ἄλλων μεγεθῶν· ὥστε πεπερασμένης ἀστρολογίας μίας τε τῶν ὄντων, ἔσται τις καὶ ἑτέρα καὶ ἄλλη αἰσθητὴ οὐρανός· καὶ ἥλιος καὶ σελήνη, καὶ πᾶσα ὁμοίως τὰ κατὰ τὸν οὐρανόν· καίτοι πῶς δεῖ πιστεῦσαι τοῦτο; τὰ δὲ λοιπὰ κινούμενα ὁμοίως δὲ καὶ περὶ τῶν ὀπτικῶν γραμμῶν καὶ τῶν κατὰ μαθηματικοῖς ἁρμονικῶν· καὶ γὰρ ταῦτα δεῖ μὴ εἶναι παρὰ τὰ αἰσθητά, ἀλλὰ τὰς αὐτὰς αἰτίας· εἰ γὰρ ὄψις καὶ αἰσθητὰ καὶ μεταξὺ καὶ αἰσθήσεις, δῆλον ὅτι καὶ ζῷα ἔσονται μεταξὺ αὐτῶν τε καὶ τῶν φθαρτῶν· ἀπορήσειε δ' ἄν τις καὶ περὶ τῶν ἀστρολογικῶν ταύτας τὰς ὠφελείας· εἰ γὰρ οὐ δυνατὸν ποιεῖσθαι γεωμετρίας μόνον, ὅτι μὲν τοιοῦτόν ἐστιν ὧν αἰσθανόμεθα· ἥδιον καὶ αἰσθητῶν, δῆλον ὅτι καὶ παρὰ ἰατρικὴν ἔσται τις ὠφελείας· ἀλλ' οὐ

ἑκάστων ἄλλων μεταξὺ αὐτῆς τε καὶ τῆς ἰατρικῆς· καὶ τῆς δὲ τῆς ἰατρικῆς καὶ τοῦ ὑγιεινοῦ· καὶ τοῦ δὲ τοῦ ὑγιεινοῦ· ἄμα δὲ, τοῦ τὸ ἀληθὲς ὡς ἡπτεωδέσ ὄντα τῶν αἰσθητῶν ὄντων μεγεθῶν καὶ φθαρτῶν· ἐφθείρετο γὰρ ἂν φθαρμένων· ἀλλὰ μὴν οὐδὲ αἰσθητὸν ἂν εἴη μεγεθῶν· διὸ περὶ μὲν ταύτης ἀστρολογίας νῦν δέ· ὅτε γὰρ αἱ αἰσθητοὶ γραμμαί τοιαῦταί εἰσιν οἵας λέγομέν τινες, οὐδὲν ἧττον αἰσθητὸν ὅτι οὐδὲ στερεὸν· ἄπειρα γὰρ τὰ καθ' ὁποσονοῦν κύκλος· ἀλλ' ὥσπερ Πρωταγόρας ἔλεγεν ἐλέγχουσι τοὺς γεωμέτρας· οὐθαῖ κινήσεις ἂν εἶεν τοιοῦτοι ὅμοιαι περὶ ὧν ἡ ἀστρολογία πραγματεύεται τοῖς λόγοις· ὅτι τὰ σημεῖα ὁποῖά τινα ἀστέρες τινὲς φύσιν· εἰσὶ δέ τινες, οἷς φασὶ μὲν εἶναι τὰ μεταξὺ ταῦτα λεγόμενα τῶν εἰδῶν καὶ τῶν αἰσθητῶν· οὐ μὲν χωρίς γε τῶν αἰσθητῶν· ἀλλ' ἐν τούτοις, οἷς τὰ συμβαίνοντα ἀδύνατα· πεύσεται μὲν πολὺ λόγου θελεθεῖν· ἱκανὸν δὲ καὶ τὰ γιγνόμενα ὡρῆσαι· ὅτε γὰρ ὧν τούτων ὧν λόγον ἔχειν ὅτω μόνον, ἀλλὰ δῆλον ὅτι εἴδη οὐδὲ χοὶ τὸν ἐν τοῖς αἰσθητοῖς ἐόν· τοῦ δὲ αὐτοῦ λόγου ἀμφότερα τῶν τοιούτων ἐστὶ καὶ δύο στερεὰ ὧν τῷ αὐτῷ ἀναγκαῖον ἐν τόπῳ καὶ μὴ εἶναι ἀκίνητα, συγκινουμένοις τε ὄντα τοῖς αἰσθητοῖς ὅλως δὲ καὶ τίνος ἕνεκα ποτ' ἐστὶ θεῖα εἶναι μὲν αὐτὰ, εἶναι δὲν τοῖς αἰσθητοῖς· ταῦτα γὰρ συμβήσεται ἄτοπον τοῖς προφερομένοις· ἔσται γὰρ οἷός τις ὁ ἐν τῷ οὐρανῷ· πλὴν τοὐναντίον· ἀλλὰ ἐν τῷ αὐτῷ τόπῳ· ὅπερ ἐστὶν ἀδύνατον τοῦτο· περὶ τε τοῦτων οὖν ἀπορία πολλή, καὶ ὡς δεῖ θέμενον τυχεῖν τῆς ἀληθείας, καὶ περὶ τῆς ἀρχῶν, πότερον δεῖ τὰς τέσσαρας ἢ τὰς ἀρχὰς ὑπολαμβάνειν, ἢ μᾶλλον ὀρθῶς ἓν παρὰ τὸν ἔστιν ἕκαστον πρῶτον· οἷον φωνῆς ἐστὶ καὶ ἀρχαὶ δοκοῦσιν εἶναι ταῦτα ὀρθῶς συγκεῖσθαι αἱ φωναὶ καὶ ὡσαύτως πρῶτον· ἀλλοῦ τὸ κοινὸν ὁμοφωνία· ἐστὶ δὲ καὶ γραμμάτων ταῦτα στοιχεῖα λέγομεν, ὧν αἱ ἀποδόσεις ἐν τοῖς ἄλλοις ἐνυπάρχουσιν αἱ τῶν ἄλλων ἀποδόσεις, ἢ πάντων ἢ τῶν πλείστων· ἔτι δὲ τῶν μάτων μὴ οἱ πλείω λέγουσι τοῖς εἶναι στοιχεῖα μὴ οἷς, ὀρθῶς συγκεῖσθαι· καὶ ὀρθῶν συνέστηκεν, ἀρχὰς λέγουσιν

εἶναι. οἷον, Ἐμπεδοκλῆς πῦρ καὶ ὕδωρ καὶ τὰ μεταξὺ τούτων στοιχεῖα φησιν εἶναι, ὧν ὑπάρχει τὰ σώματα σύνθετα ὄντα. ἀλλοῦ χωρὶς γράφει. Ταῦτα λέγει τὰ ὄντα. πρόσκειται οὖν τοῖς ἄλλοις εἰ στοιχεῖα ἐστὶ φύσιν ἀθρεῖν, οἷον κλίνην ἐξ ὧν μορίων ἐστὶν ἢ ὡς σύγκριμά φησιν, ἢ τινὰ ἔχει τὴν φύσιν αὐτῆς. ἐκ μὲν οὖν τούτων τῶν λόγων, οὐκ ἂν εἴησαν αἱ ἀρχαὶ τὰ ὄντα. ἢ ἕκαστον μὲν γνωρίζομεν ἃ δὲ τὰ ὁλισμῶν, ἀρχαὶ δὲ τὰ μὴ ὁλισμῶν εἰσιν, οὐδὲ κινεῖται τὰ ὁλισμῶν ὄντα λαβεῖν ἐπιστήμη τὸ εἰδὼς λαβ᾽ καθ᾽ ἃ λέγομεν τὸν τρόπον. Τὰ εἰδὼς ἀρχαὶ τὰ γεννητά. Φαίνονται δὲ τὴν ὑπὸ τὰ λεγόμενα στοιχεῖα τῶν ὄντων τὴν ὕλην, ἢ τὸ μέτωπον τὸ μικρὸν, ὡς γένεσιν αὐτοῖς χρῆσθαι. ἀλλὰ μὴν δὲ ἀμφοτέρως τε οἷόν τε λέγειν τὰς ἀρχάς. ὁμοίως γὰρ λόγος τῆς οὐσίας εἷς. ἕτερος δ᾽ ἔσται, οὗ ἀεὶ μὲν ὁλισμὸς, καὶ ὁ λέγων ἐξ ὧν ὑπάρχουσιν παρὰ τῶν. πρὸς δὲ τούτοις εἰσὶν ὅτι μάλιστα ἀρχαὶ τὰ γένη εἰσὶ, πότερα δεῖ νομίζειν τὰ πρῶτα τὰ γενῶν ἀρχὰς, ἢ τὰ ἔσχατα καὶ κατηγορούμενα ἑκάστων ἀπὸ μόνων. ἔστι δὲ καὶ τοῦτο ἀμφισβήτησιν· εἰ μὲν γὰρ ὅτι τὰ καθόλου μᾶλλον ἀρχαὶ, φανερὸν ὅτι τὰ ἀνωτάτω τῶν γενῶν. Ταῦτα γὰρ λέγεται πάντων. ὥστε ἔσονται ὅσα ἐστὶν ἔσονται ἀρχαὶ τῶν ὄντων, ὅσα ὡς τὰ πρῶτα γένη· ὥστε τὸ, τί ὂν ἔσται γνώριμον ἀρχὰς καὶ τῶν ὄντων. Ταῦτα γὰρ κατὰ πάντων μάλιστα λέγεται τῶν ὄντων. ὁ χωριστὸν τι δὲ τῶν ὄντων. ἢ εἶναι γένος· ὅτι μὲν οὖν ὅτι τὸ ὂν καὶ τὸ ἕν οὐκ ἔστιν οὐσία τῶν ὄντων, οὐκ ἂν εἴησαν αἱ ἀρχαὶ τὰ ὄντα ὡς γένη· ἀνάγκη μὲν γὰρ τὰς διαφορὰς ἑκάστου γένους, εἶναι, καὶ μίαν εἶναι ἑκάστην· ἀδύνατον δὲ καθ᾽ ἑνὸς γένους εἶδος εἶναι τὸ ὂν, οὐδὲ τὸ ἕν· διὰ τὸ τὰ γένη διαφορὰς ποιεῖν τὰ εἴδη λαμβάνειν τὰ ὑποκείμενα. ὥστε εἰ ἔστι τὸ ὂν γένος ἢ τὸ ἕν, οὐδεμία διαφορὰ, οὔτε τὸ ὂν, οὔτε τὸ ἕν ἐστιν· ἀλλὰ μὴν εἰ μὴ γένη, οὐδ᾽ ἄρα καὶ ἔσονται· εἰ γὰρ ἀρχαὶ τὰ γένη· ἔτι καὶ μεταξὺ συμβαίνει μεταξὺ διαφορᾶς, ἔσεσθαι γένη, μέχρι τῶν ἀτόμων· νῦν δὲ πάντα δοκεῖ τὰ δυοῖν δοκεῖν πρόσεστι τούτοις, ἔτι μᾶλλον αἱ διαφοραὶ ἀρχαὶ, καὶ τὰ γένη· εἰ δὲ ταῦτα ἀρχαὶ, καὶ τὰ συμβεβηκότα ἀρχαὶ, ἃ πέφυκε εἶναι ἀρχαὶ γίνονται· ἄλλως τε καὶ τὸ πρῶτον γένος ἀρχὴν τιθῆ· ἀλλὰ μὴν καὶ μᾶλλον γε ἀρχὰ δόξειεν ἂν

τὸ ἀναίρετον. ἀναίρετον δὲ ἄπαν, ἢ καθ᾽ ὁποσονοῦν ἢ καθ᾽ εἶδος. πρότερον δὲ τὰ καθ᾽ εἴδη. τὰ γὰρ κατὰ δίαιρεσιν εἰσὶν εἴδη μᾶλλον, ἢ ἂν τὸ ἕκαστον εἶναι καὶ κατηγορούμενον· ἀναιρεῖται γὰρ οὕτως πρῶτον τῶν ἀνωτάτω. ἐπὶ δὲ τοῖς τὸ πρότερον καὶ ὕστερον ὁρίζεται, οὐ χωρίζοντες τὸ ὡς τούτων εἶναί τι παρὰ ταῦτα. οἷον εἰ πρώτη τῶν ἀριθμῶν ἡ δυάς, ἢ κατ᾽ ἐκείνας ὁ ἀριθμὸς παρὰ τὰς εἴδη τῶν ἀριθμῶν. ὁμοίως δὲ, οὐδὲ γράμματα παρὰ τὰς εἴδη τῶν γραμμάτων· εἰσὶ μὴ τοῦτων, ἀλλὰ τῶν μὲν ἄλλων εἶναι ὕλην παρὰ τὰ εἴδη· τούτων γὰρ δοκεῖ μάλιστα εἶναι ὑλή. ἐν δὲ τοῖς ἀτόμοις, οὐκ ἔστι, τὸ μὲν πρότερον· τὸ δὲ ὕστερον· ἔτι ὁ πρῶτος μὲν βέλτιον, τὸ δὲ, χεῖρον, ἀεὶ τὸ βέλτιον πρότερον· ὡς τοῦ δὲν τῶν ἀνθρώπων ὄντος. ἐκ μὲν οὖν τούτων μᾶλλον φαίνεται τὰ ἰδέας καὶ τὰ γένη καὶ τὰ στοιχεῖα ἀρχὰς εἶναι· πῶς δὲ καὶ ταύτας ἔστιν ἀπορῆσαι πρῶτον· ἐπεὶ γὰρ ἀρχὴν, δεῖ εἶναι τι διὰ τὴν αἰτίαν εἶναι παρὰ τὸ πρᾶγμα τοῦ ὧν ἀρχή. εἶναι χωριστὸν μὲν οὖν αὐτὸ· τοῦ δὲ τί παρὰ τὸ καθ᾽ ἕκαστον εἶναι, ἀναγκαιοτάτη θεωρῆσαι, περὶ ἧς ὀλίγα ἐφέσηκεν ὑμῖν· εἰ τε γὰρ μὴ ὄντι τι παρὰ τὰ καθ᾽ ἕκαστα, τὰ ἢ καθ᾽ ἕκαστα ἄπειρα, τὰ πεπερασμένα, ὥστε σκοπεῖν λαβεῖν ἐστὶ μᾶλλον ἢ γὰρ ἔστι τι παρὰ τὸν τόπον, καὶ ἢ καθόλου τί ὑπάρχει, ταύτην πάντες γνωρίζομεν· ἀλλὰ μὴν εἰ τοῦτο ἀναγκαῖον ὄντι, δεῖται εἶναι παρὰ τὰ καθέκαστα, ἀναγκαῖον ἂν εἴη τὴν ὕλην εἶναι παρὰ τὰ καθέκαστα, ἢ τοι τὰ ἔχοντα ἢ τὰ πρῶτα· τοῦτο δ᾽ ὅτι ἀδύνατον, ἄρτι διηπορήσαμεν. ἔτι εἰ ὅτι μάλιστα ὄντι παρὰ τὸ ὅλον, ὅτε καθ᾽ ὕλην τὸ πρῶτον εἰ ὄντι εἶδός τι παρὰ πάντα δεῖ εἶναί τι ἢ παρὰ μηδέν ἐστι παρὰ τὰ καθέκαστα, ὃ δὲν ἂν εἴη μόνον· ἀλλὰ πάντα αἰσθητὰ καὶ ἐν ὕλῃ τινὶ ἀδιάληπτα· εἰ μή τις εἶναι λέγοι τὰ αἰσθητὰ, ἐπιστήμην δενός· εἰ μή τις εἶναι λέγοι τὰ αἰσθητὰ,

φυκεν· ἀλλ' ὅτε δὴ μέτα εἴκοσι γε μελέτεσιν ἐβρέφθη· εἰ τιμᾶς
πάνο ρουσε τελφο μῦ οιο χρόνοιο, ὥσφιν ἀμοιβαῖος ϝλατίος πα ρε
λήλα το ὅρκου· ὡς ἀναγκαῖον μῦθὸν μεταβαίνειν· αἰτίαν δ' ἐξ ἀ
νάγκης οὐδεμίαν δηλοῖ· ἀλλ' ὁμῶς γοσοῦτόν γε μόνον λέγει ὁμολο
γοῦμεν μύωσ· οὐδὲ τὰ μῦθ φθαρτὰ, πάντα δ' ἄφθαρτα, πρεῖ τ' ὄντων· ἀλ-
λὰ πάντ' ἔφθ τὰ, πλὴν τοσι χείων· ἢ νῦν λεγόμ' ἡ ἀπορία ἔστ, ἢ ἀπὸ τὸ
πὰ μῦ, πάντ' οὖ· εἰ ϝερ ἐκ τ' αὐτ' ὄντ ἐστιν· ὅτι μὲν οὖν ἀνάγκη εἶναι ἀΐδια
ἀρχὰ, τοσαῦτα εἰρήσθω· εἰ δ' ἐστὶ μὲν ἀρχὰ, μία μῦ ἀπορία· ἢ
τ ϝρον ἀφθαρτοι ἡμῖν τὰ ἐόντ(α), ἢ φθ τὰ· εἰ μῦν ἅπ φθαρτὰ, δῆ
λ' ὡς ἀναγκαῖον ⟨τ' αὐτ' ἐκ τῶν εἶναι· ἅπαντ' ἀφθείρε(σθ) εἰς ταῦτ' ἐξ ὧν
ἔστ μ· ὥστε συμβαίνοι τ' ἀρχῶν εἶναι τ' ἀρχ' εἶμ' ἄπροτέρας· οὐ τοδ'
δηλόν τον· καὶ εἰ ἴσας ταις ἢ εἰς ἄπειρον· ἐπεὶ, ϝῶσ' ἔσαι τὰ
φθαρτὰ, εἰ αἰὲ ἀρχαὶ ἀναιρεθήσον(ται)· εἰ δὲ ἄφθαρτα, δῆλα τί, ἐκμὲ τ
τῶν ἀφθάρτων οὐσῶν, φθαρτὰ ἔσαι ἐκ δ' ϝῶν ἑτέρων ἄφθαρτα·
ϝοῦ γ' οὐκ ἔλογον· αὖ ἢ δηλόν ἀναγκαῖον, ἢ πλοῦ λόγου δεῖται· ἐπεὶ οὐ
δ' ἔγκειχείρηκεν ὁ δ' εἰς ἑτέρας, ἀλλὰ τὰ σαὐτὰ σ' ἀπάντων λέγου
σιν ἀρχάς· ἀλλὰ τὸ πρῶτον μὲ προῆχθαι, ἀπορ ῶ τοισιν, ὥσπερ οἱ
μικρόν τι λαμβάνοντες· πάντων δ' ἐθεωρῆσαι χαλεπώτατ' ἦν
πρὸς τὸ γνῶναι τἀληθὲς, ἀναγκαῖόν τε τὸν· τὸ τέρου τε τὸ ὂν,
τὸ γὰρ, ὑσίαι τ' ὄντ' εἰσὶ, τἆλλ' ἑκάτερ' αὐτ' ἀ χ' ἑτέρου τ' ὄν, τὸ μ' οὐ τὸ ὄ,
ὄσ τὸ, ἢ δεῖ ζητεῖν, τίνα τ' ἔστ τὸ ὂν ἢ τὸ μή, ὡς ὑποκ μένης αὔης φύσε·
οἱ μὲν δ' ἑκὲν, οἱ δ' οὐ τως οἱ ομ(ε)ν τὸ ὂν ἢ τὸ μή· ὅθεν οὐδὲ περὶ φύσ
οἱ πυθαγόρ οι, ἀ χ' ἑτέρου τι τὸ ὂν ἁπλ τὸ μή· αὐτ' ἄρ' αὐτ' τὸ φύσ
εἶναι ὥστ' ὄσ τ' ἢ ἐστ' ἢ τὸ μὴ ὂν εἶναι, ἢ τὸ ὂν· οἷ δ' ὕστερ' περὶ φύσε οἷον Ἐμ
πεδοκλῆς ὡς εἰσὶ τέτρα τινὲς αἱ ἁπλαῖ, λέγ δ' ὅτι τὸ ἐνὸν ὑπ' ἀμφ δ
αὐ λέγ δ' ἀμφ τοῦ τ' ὂν φιλί αν εἶναι· αἰτία τοῖς ὑστεραῖ τ, τοῦ εἶναι πᾶ
σιν· ἕτεροι δ' ὧν οἷ δ' ἓν φασὶν εἶναι, τὸ ἓν τοῦ τ' ὂν· ὅθ' ὅτ
ὁμ' εἶναί τε λεγομένα· ὡς δ' ὧν τως οἱ πολλοὶ τοῖς τοιαῦτα λέγ μὲ
νοι· ἀνάγκη δ' οὐ τοῦ τοις τοσαῦτα λέγ μὸν ὂν τὸν, ὅσαπερ ἂν
χὰς εἶναί φασι· συμβαίνοι δ' ἂν, εἰ μῦ πλείω μηθ' ὅσ' εἶναί πέρα ἀ σίας

τὸν ἓν ὂν, μηδ' ἕτ' ἄλλων εἶναι τῶν καθόλου μηθέν· ταῦτα γὰρ ὄσ τ
καθόλ α μάλισ α πάντων· εἰ δὲ μηδ' ὅσ τι ἐναὐτὸ μὴ διαῦτὸ ὄν, ἀρ
λῆτ' ἀγαθόν, τἀγαθὸν εἶναι τ' ἀτέλευτ' ὀμῦ α καθ' ἕκασα· ἔστι δ' ἐμὴ ὁμ-
ῶς τοῦ ἐνὸς οὐσί, δῆλον ὅτι ἀΐδιόν τ' ἀριθμὸ εἶναι ὡσκεχωρισμένη φύσ
τιν' ὄντων· ὁμ δ' ἀριθμὸς, μονάδες· ἡ δὲ μονὰς ὁπερ ἕν τι δίδ τιν· εἰ δ' ἕ
τι τι αὐτὸ ἓν μὴ αὐτὸ ὂν, ἀναγκαῖον ὑσίαν αὐτ' εἶναι τὸ ὂν ἢ τὸ μή· ἐ δ'
ἑτέρου τι καθόλ α καὶ τ ϝρεῖται· αἰτία τ' αὐτ' αὐτὸ· αἰτία μ' εἰ γέσαι
τι αὐτὸ ἓν, πολλὰ ἀπορεῖ α, ϝῶσ' ἔσαι τι ϝᾶ τ' αὐτ' ἄπειρ· λέ
γω δὲ πῶσ' ἔσαι τὸ ἐνὸς τὸ ὄν· τὸ γὰρ ἕτερ ον ὄμοιον, ἐκ δ' ὁμοίω ϝᾶ
μῦ ἁδυσυμβαίν" ἀνάγκη λόγον, ἐν ἅπαν εἶναι τὸ
ὄντα· ἢ τοῦ τ' εἶναι τὸ ὂν· ἀμφοτέρωσ δ' ὑσκολον· ἁπ τε γὰρ μὴ ἢ
τὸ ἓν οὐσία, ἁπ τε ἢ τὸ αὐτὸ ἓν, ἀδιάφορον τὸ ὂν ἀριθμὸν οὐσίαν εἶναι·
ἐὰν μ' ἓν μὴ ἢ, εἴρη(ται) πρότερον δ' ὅ· ἐὰν δ' ἓν ἢ, ἁπ τὴν ἀπορί α ⟨πρεῖ τὸ
ὄντ· ἐκ τίν γὰρ ἓν ἢ τὸ ἓν γέσαι αὖ τὸ, αἰσχρ· ἀνάγκη γὰρ μυδὲν εἶμ'.
ἅπαν δ' ἢ τὸν τε ἢ ϝῶν ἢ πολλά· ὧν ἓν ἕκασ(τ)· ἔτι εἰ ἀδιαίρετ' αὐτὸ τὸ ἓν,
κἀμὲ τὸ Ζήνωνο ἀξίωμα, ϝδὲν ἂν εἴη· ὃ γὰρ μήτε προστεθέμ' μήτε ἀ
φαιρούμ', οὐδὲν εἶναί φαμεν εἶμ' ϝῦ τὸ τ' ὂν ὄντων, ὡσ δῆλον·
ὅτι ὄγκος μεγέθ τι ὄντ· ⟨εἰ μέγεθος σωμα τικ', ϝῦ τὸ δ' πάν τ' ὄν,
πᾶ γὰρ ἅπ, πῶ προστιθέμ' ϝοι ἡσει μεῖζον, ὃ δ' ὐθὲν, οἷον ἐπίπ
δον γραμμὴ, στιγμὴ δ' ἢ μονὰς, ϝδαμῶ· αἰ δ' ἄπειρ δὴ οὕτως θετέ
φορ τικῶς, ⟨ϝδὲ κὸν δέχ(ε)σθαι ἀδιαίρετόν τι, ὥστε οὐδ' ἂν ἡσὶ πρὸ
ἐκεῖνον τὸν ἔχει ἀπλοῦ, μεῖζον μ' ἀπριήσει· πολεῖον δ' πρὸς τιθέμ'
τοι ϝδὲν· ἀλλ' ἀπ' ϝδενὸς γοι ϝόντ', ἢ πλάσ' ἔσαι μέγεθος· ὁ-
μοίω δ' ἂν γραμμὴ ἐκ στιγμῶν εἶναι φάσκ'· ἀλλὰ μὴ ἔτι σ' ὑπ
λαμβάνοι ὡσ τι τίνες ϝῶν καθάπ λέγουσί τιν' ἐκ τοιούτ(ων) αὐτ(ῶν)·
ἀλλ' μὴ ὁ τιν' τ' ἀριθμ', ϝθὲν ἦν ὅπ ζητητέον, ϝδὲ τὴν πρ ὁτὸ μ'
ἀριθμοὶ, ὁ τὲ δ' μέγεθος ἔσαι τὸ ἓν ὁμ', εἴ ϝερ τὸ μὲν ἓν, ἢ ἀνί σότης
ἢ ἁπλ τὴν φύσιν ἐστ' ἐν· ὅτι γὰρ ὅπως ἔχ(ε)νος ⟨ταύτης, ἅτε ὅπως ἔχ ἀ
ριθμοῦ τινος ἀ ταύτης, χρόνοι πᾶν τὰ μεγέθη, δῆλον· τούτων δ' ἔχ
μῦ ἡ ἀπορία, πότερον οἱ ἀριθμοὶ, ἢ τὰ σώματα, ⟨τὰ ὧν ϝτα ἢ

ρὰ ἐστὶ μαὶ οὐσίαι τινές εἰσιν, ἢ οὐδ' εἰσὶ μία εἶναι φθαρτὸν ὂν καὶ
πάντα οὐσίαι τῶν ὄντων· τὰ μὲν γὰρ πάθη, οἷον εἰκὴ νήσεις, οὐ τὰ πρὸς
τι, οὐδὲ διαθέσεις, οὐδὲ λόγοι, οὐθενὸς δηλοῦσιν οὐσίαν σημαίνων λέ
γομεν· τὰ γὰρ πάντα καθ' ὑποκειμένου τινὸς λέγεται· ἀλλὰ μᾶλ
λον ὕλῃ σημαίνουσιν οὐσίαν, οὗ ὕλη ἐστὶν ἡ πρώτη, ἥτις οὐ τόδε τι
ἐστὶ δυνάμει καὶ τὸ τρίτον, ἡ ἐκ τούτων ἡ ἐκ τῶν τριῶν λέγω, οἷον
σῶμα τὸ ἔχον μῆκος καὶ πλάτος καὶ βάθος· τούτων δὲ ἡ μὲν τοιαύτη
τις οὐσία σχῆμα ἐστὶ καὶ ἕξις, ἡ δὲ ἀσώματος ἤδη ἐστὶν ἀριθμὸς
μόνον τοῦτο σημαίνει ὡς ὄντι τινὶ οὐσίᾳ τόδε τι καὶ οὐσία· ἀλλὰ μᾶλλον τόδε
μα, ἢ ποιον οὐσία τῆς ψυχῆς ἐστὶν ἡ αὐτὴ τῆς γραμμῆς· ἔστι γὰρ
μονάδος τῆς γραμμῆς· τούτοις γὰρ ὥρισται τὸ σῶμα· ἔστι μὲν οὖν
ἄλλη σώματος ἡ ψυχὴ εἶναι· τὸ δὲ σῶμα, οὔθ' οὗτος εἶναι
ἀδύνατον· δόξειε δ' ἂν τὸ ὄν, ὧν τὸ σῶμα εἶναι· τάλλα δὲ τούτου πάθη· ὥστε ἔστι τὰ σώματος ἀρχὰς τὰς
τῶν σωμάτων, τὸ ὄντων εἶναι ἀρχάς· οἷον ὑστέρου καὶ σοφώτεροι τοῦ
τῶν εἶναι δόξαντες, ἀριθμὸς καθάπερ ἂν εἴποιμεν εἰ μὴ ἔστι οὐσία
ταῦτα· ὅλως, ἢ δὲ μία ὕλη οὐσία, ἢ δὲ οὐδέν· ἢ γὰρ δὴ πάγε συμ
βεβηκότα γύγοις, ἄξιον ὁρᾶν καλεῖν· ἀλλὰ μᾶλλον, εἰ τοῦτο μὴ
ὁμολογεῖται οὕτω μᾶλλον ἔστιν οὐσία τὰ μὴ κατὰ τῶν σωμάτων κατὰ
στάσεις, ταῦτα δὲ μηδὲν ὁρῶμεν, ποιὸν ἀνεῖναι σωμάτων (ἐν γὰρ τοῖς
αἰσθητοῖς, ἀδύνατον εἶναι) οὐκ ἂν εἴη οὐσία οὐδεμία· ἔτι φαίνε
ται ταῦτα πάντα ὑπάρχοντα διαιρέσεις ὄντα τοῦ σώματος, τὸ μὲν εἰς βλά
τος· τὸ δὲ εἰς βάθος· τὸ δὲ εἰς μῆκος· πρὸς δὲ τούτοις, ὁμοίως ἂν
ἔχειν τῷ στερεῷ ὁποιονοῦν σῶμα· ὥστε μηδὲν τῷ λίθῳ ἁρμόσ,
οὐδὲ τὸ ἥμισυ τοῦ κύκλου ἐν τῷ κύκλῳ οὕτως, ὡς ἀφωρισμένον· οὐκ
ἄρα οὐδὲ ἐπιφάνεια· εἰ γὰρ ὁποιαοῦν, καὶ αὕτη ἂν εἴη ἀφο
ρίζουσα τὸ ἥμισυ· οὐδὲ γραμμὴ ἐστὶ γραμμῆς τομή· ὥστε μᾶλλον
ἁρμόσει· ὥστε μάλιστα μὲν οὐσία τὸ σῶμα, τοῦτον δὲ μᾶλλον ταῦτα,
μηδὲ ταῦτα, μηδὲ οὐσίαι τινές, διαφθαρτὸν ὂν· πᾶσι γὰρ
ὑπάρχον τοῖς ἐν τῷ ὄντι· πρόσγε τοῖς εἰρημένοις, καὶ τὸ ὕστερον τῶν γενέσεων ἐστὶ φθο
ρὰν συμβαίνειν ἄλογον· ἐκεῖ μὲν γὰρ ἡ οὐσία μηδαμοῦ ἔστι πρότερον

ἢ πρότερον οὖσα ὕστερον μή· μετὰ τοῦτο γίνεσθαι καὶ φθείρεσθαι
ταῦτα πάλιν· τὰς δὲ στιγμὰς ἐστὶ γραμμή, ἐστὶ δὲ ἐπιφανεῖ, ἀκίνδυ
νός τις γίνεσθαι, ὅτι φθείρεσθαι, ὁ τὸ μὲν ὅσας, ὁ τὸ δὲ ἐκ οὔσας· ὁτὲ
γὰρ ἅπτεται ἢ διαιροῦσα τὸ σῶμα τὰ ἅμα, ὁ τὸ μὲν μία ἀπὸ μέ
νων· ὁ τὸ δὲ δύο διαιροῦσα μόνον· ὥστε τοῦτο συγκρούων ὄχλον,
ἀλλ' ἔφθαρται διὰ μηδὲν γίνεται· ἐκ τούτου δὲ καὶ ἡ ἀρχὴ καὶ τὸ πέρας
ἡ γραμμή, διαιρεθεῖσα εἰς δύο, εἴτε γίνονται φθείρου
μένου τινός γίνονται· παραπλησίως δ' ἔχει καὶ περὶ τὸν νῦν καὶ τὸ
χρόνῳ· ἀεὶ γὰρ τοῦτο ἐν ἑτέρῳ γίνεσθαι καὶ φθείρεσθαι· ἀλλ' ὁμοίως ἕ
τερον δοκεῖ ἀεὶ εἶναι, ἀκίνδυνα τὰ δὲ ὅσα ὁμοίως δ' ἅπαν ὅτι ἔχει
καὶ τὸ περὶ τὰς στιγμὰς καὶ γραμμὰς καὶ περὶ τὰ ἐπίπεδα· ὁ δ' αὐ
τὸς λόγος· ἅπαντα γὰρ ὁμοίως, ἢ πέρατα ἢ διαιρέσεις εἰσίν· ὅλως
δ' ἄτοπον ἐποίησεν αὐτὸ καὶ πάντα ζητεῖν ἀλλ' ἅπερ ἀπαίδευ
τον καὶ τὰ μεταξύ· οἷον, ἀνθρώπου μὲν εἰδῶν εἰ γὰρ διὰ τοῦτο ὅτι τὰ μὲν
μαθηματικὰ τῶν ὄντων, ἀλλ' οὐ μόνον τιμιώτερα φέρει, τῶν δὲ πολλῶν τε
ὁμοφυῆ εἶναι, ἀνθρώπου φέρει· ὥστ' οὐκέτι ἔσονται αὐτῶν αἱ ἀρχαί, ἀρι
θμῶν ἀφορισμέναι· ὥστε ἀνθρώπου τοῦ ἐν τοῖς γραμμάτων, ἀριθ
μῶν μὴ πάντ' ἀκίνδυνα ἀρχαὶ ὧν εἰσὶ μέραι· εἰ δὲ ἐὰν μὴ λαμβάνῃ
τόδε τι σημαίνειν ἢ τι σημαίνει φωνή· τοῦτο δ' ἔστιν ἢ ἀριθμῶν ὡρι
σμένων· ὁμοίως δὲ καὶ ἐπὶ τῶν μεταξύ· ἄπειρα γὰρ καὶ ἐκεῖ τὰ ὁμοει
δῆ· ὥστε μὴ ὄντα παρὰ τὰ αἰσθητὰ τὰ μαθηματικά, ἕτερα ἅπαντα,
οἷα λέγουσι τὰ εἴδη τινές, οὐκέτ' ἔσται μία ἀριθμῶν καὶ εἶδος οὐσία·
οὐδὲν ἀρχαὶ τῶν ὄντων ἀριθμῶν ἔσονται τινές, ἀλλὰ εἶδη·
εἰ οὖν τοῦτο ἀναγκαῖον, καὶ τὰ εἴδη ἀναγκαῖον διὰ τοῦτο εἶναι·
ἢ γὰρ εἰ μὴ καλῶς διαρθροῦσιν οἱ λέγοντες, ἀλλ' ἔστι τοῦτο βούλομ
ται, καὶ ἀνάγκη ταῦτα λέγειν αὐτοῖς, ὅτι τῶν εἰδῶν οὐσίαι τινὲς ἔ
καστόν ἐστι· διὸ θεὶς κατὰ συμβεβηκός· αὐτὰ μὲν οὐ τί ἐστι θήσομεν τὰ εἴ
δη εἶναι· ἔστιν ἃ ἐν ἀριθμῷ τὰ ἀρχὰς, ἀλλὰ μὴν εἴδη, εἰρήκαμεν δὲ
συμβαίνει ἀναγκαῖον ἀδύνατα· ἔστιν ὑπὸ τὸ ὅλως τὸ διαπορῆσαι
πότερον δυνατὸν ἢ ἀδύνατον ἐστὶν ἰσχύειν, ἢ τίνα τρόπον· εἰ μὴ δ' ἄλλως,

πως. πρότερον τι ἔσται τὰ ἀρχῶν ἄλλο. πότερον γὰρ ἡδὺ ἢ μισητὸ κείνης φλαὶ τίας, τὸ δὲ ἡδὺ ἀναγκαῖον εἶναι ἢ μὴ ἔχειν. εἰδέναι δὲ ἡδὺ μὴ τὰ τοιχεῖα, ἐνδέχεται μηδὲν εἶναι τῶν ὄντων. ἡδὺ γὰρ εἶναι καὶ τὸ μὴ ὄν. φίνεται μὲν γὰρ τὸ μὴ ὂν, οὐθὲν ἧττον φίνεται τὰ εἶναι ἀδυνάτων. ταὐτὸν τε δὴ τοῖς ἀποφαίνουσιν ἀναγκαῖον ἀπορῆσαι περὶ τῶν ἀρχῶν, καὶ πότερον καθόλου ἐστὶν ἢ οὐκ ἔστιν ἐπιστήμη, ἢ οὐ πάσης ἐπιστήμης ἐστὶν ἀρχή. καθόλου δὲ λέγω μὲν τὰ καθ' ἕκαστα. ἐμοὶ μὲν γὰρ καθόλου, τὸ κεῖσθαι τὰ οὐσίαι. τὸ δὲ ἓν τῶν κοινῶν τόδε τί ἐστι μαίνεσθαι, ἀλλὰ τοιόνδε. ἡ δὲ οὐσία, τόδε τί. εἰδέναι δὲ τόδε τι, οὐκ ἐθέλουσι τὸ κοινῆ κατηγορούμενον, πλὰξ εἶναι ζῷα, ὃ Σωκράτης αὐτός τε ὁ Σωκράτης καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον, εἰ πρόσεστι μαίνεσθαι ἕκαστον τὸ δέ τι ἐκάστῳ ἐστὶν ἕν. εἰ μὲν οὖν καθόλου αἱ ἀρχαὶ, ταῦτα συμβαίνει. εἰ δὲ μὴ καθόλου, ἀλλ' ὥσπερ τὰ καθ' ἕκαστα ἐκείνοις τοῖς ἐστὶ καθόλου γὰρ αἱεὶ πίπτειν ὡς ἐπὶ τῶν πολλαχῶς λεγομένων, ἄν τε μὲν ἀρχῶν καθόλου καὶ τῆς ἀποδείξεως, ἀνάγκη μὴ εἶναι ἀρχὰς τὰ γένη τὰ ἐπὶ τῶν ἀρχῶν. ἄν τε μὴ ἀρχῶν, ἀλλὰ μᾶλλον τῶν ὑποκειμένων, ἀνάγκη τὰ τοιαῦτα λέγεσθαι μάλιστα οὐσίας. ἔστι γὰρ ἕκαστον τὸ ὑποκείμενον ἐν ἑκάστῃ κατηγορίᾳ, οἷον ἐν τῇ οὐσίᾳ μὲν ἄνθρωπος, ἐν τῇ ποιότητι δὲ τὸ λευκὸν, ἐν τῇ ποσότητι δὲ τὸ τρίπηχυ, ἐν τῇ κατὰ τόπον δὲ τὸ ἄνω ἢ κάτω, καὶ τὰ ἄλλα ὁμοίως. ἐν τῇ κατὰ χρόνον δὲ τὸ ποτὲ, ἢ τὸ ἐν καιρῷ, ἢ τὸ ἐν ἄλλῳ τινὶ τοιούτῳ. ἐν τῇ πρός τι δὲ τὸ διπλάσιον, ἢ τὸ ἡμιόλιον, ἢ τὸ πολλαπλάσιον, ἢ τὸ ἄλλο τι τοιοῦτον. ἐν τῇ ποιεῖν δὲ καὶ πάσχειν, τὸ τέμνον καὶ τὸ καιόμενον, καὶ τὰ ἄλλα ὁμοίως. ἐν τῇ ἔχειν δὲ τὸ ὑποδεδεμένον ἢ ὁπλισμένον, ἢ τὸ ἔχον ὑπόδημα ἢ ὅπλα. ἐν τῇ κεῖσθαι δὲ τὸ κεῖσθαι. ἐν τῇ ποιεῖν δὲ καὶ πάσχειν, τὸ τέμνον καὶ τὸ καιόμενον, καὶ τὰ ἄλλα ὁμοίως. ἐν τῇ ἔχειν δὲ τὸ ὑποδεδεμένον ἢ ὁπλισμένον, ἢ τὸ ἔχον ὑπόδημα ἢ ὅπλα. ἐν τῇ κεῖσθαι δὲ τὸ κεῖσθαι.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ, ΤΟΜΟΣ Γ'.

ΕΣΤΙν ἐπιστήμη τις, ἣ θεωρεῖ τὸ ὄν, ᾗ ὄν· καὶ τὰ τούτῳ ὑπάρχοντα καθαυτό. αὕτη δ' ὅλη οὐδεμιᾷ τῶν μερικῶν λεγομένων ἡ αὐτή· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος, ᾗ ὄν· ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμόμεναι, θεωροῦσι περὶ τοῦτο τὸ συμβε-

τὸ συμβεβηκός· οἷον αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν. ἐπεὶ δὲ τὰς ἀρχὰς καὶ τὰς ἀκροτάτους αἰτίας ζητοῦμεν, δῆλον ὡς φύσεώς τινος αὐτὰς ἀναγκαῖον εἶναι καθαυτὴν. εἰοῦν καὶ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες, ταύτας τὰς ἀρχὰς ἐζήτουν, ἀνάγκη καὶ τὰ στοιχεῖα τοῦ ὄντος εἶναι μὴ κατὰ συμβεβηκὸς, ἀλλ' ᾗ ὄν τινος ἦν τοῦ ὄντος ἢ ὄν, τὰς πρώτας αἰτίας ζητητέον. τὸ δὲ ὄν, λέγεται μὲν πολλαχῶς· ἀλλὰ πρὸς ἑνὸς καὶ μίαν τινὰ φύσιν, οὐχ ὁμωνύμως· ἀλλ' ὥσπερ καὶ τὸ ὑγιεινὸν ἅπαν πρὸς ὑγίειαν, τὸ μὲν τῇ φυλακτικὸν ὑγιείας, τὸ δὲ τῇ ποιητικὸν, τὸ δὲ σημεῖον εἶναι ὑγιείας· τὸ δέ τι δεκτικὸν αὐτῆς· καὶ ἰατρικὸν, πρὸς ἰατρικήν· τὸ μὲν ἐξ ἰατρικῆς, λέγεται ἰατρική· τὸ δὲ φύσει εἶναι πρὸς αὐτό. τὸ δὲ, τῇ ἔργον εἶναι τῆς ἰατρικῆς· ὁμοίως δὲ καὶ ἄλλα ληψόμεθα λεγόμενα τούτοις· οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μὲν, ἀλλὰ πρὸς μίαν ἀρχήν· τὰ μὲν γὰρ ὅτι οὐσίαι ὄντα λέγεται, τὰ δ' ὅτι πάθη οὐσίας· τὰ δ' ὅτι ὁδὸς εἰς οὐσίαν· ἢ φθοραὶ, ἢ στερήσεις· ἢ ποιότητες ἢ ποιητικὰ ἢ γεννητικὰ οὐσίας· ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων· ἢ τούτων τινὸς ἀποφάσεις· ἢ οὐσίας· διὸ καὶ τὸ μὴ ὄν, εἶναι μὴ ὂν φαμέν· καθάπερ οὖν καὶ τὸ ὑγιεινὸν, ἁπάντων μία ἐπιστήμη ἐστὶν, ὁμοίως τοῦ τοιούτου καὶ τῶν ἄλλων· οὐχ ἧττον καθ' ἓν λεγομένων ἐπιστήμη ὀφείλει θεωρῆσαι μιᾶς· ἀλλὰ καὶ πρὸς μίαν λεγομένων φύσιν. ἔστι γὰρ καὶ τοῦτο τρόπον τινὰ λέγεται καθ' ἕν, δῆλον οὖν ὅτι καὶ τὸν ὄντα μιᾶς θεωρῆσαι ἢ ὄντα· ἀεὶ δὲ καὶ κυρίως ἡ πρώτη καὶ ἐπιστήμη ἐστὶ περὶ τὰ πρῶτα· ἀφ' οὗ τὰ ἄλλα ἤρτηται· καὶ διὸ λέγουσιν· εἰ δὴ τοῦτ' ἔστιν οὐσία, ἧς ὄντες αἴτιοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τοὺς οὐσίας ἔχειν τοὺς φιλοσόφους· ἅπαντ' ἂν ἡμῶν αἰσθήσει μίαν ἐν ὁπωσοῦν ἐπιστήμην· οἷον γραμματικὴν μίαν ἅπασαν, πάσας θεωρεῖ τὰς φωνὰς· διὸ καὶ τοὺς ὅσα εἰδικῶς ἐθεωρήσαμεν, μιᾶς ὄντων ἐπιστήμης τῷ γένει· τὰ τε εἴδη τὰ εἰδῶν· εἰδικὸν δὲ ἓν ἑκάστου τὸ μία φύσις, τῷ ἀκολουθεῖν ἀλλήλοις ὥσπερ ἀρχὴ καί τι, ἀλλοῦ χωρὶς ἐν ἄλλῳ λόγῳ δηλούμενα· διαφέρει δὲ οὐθὲν οὐδὲν ὁμοίως τοῦ πολλαχῶς μὲν λεγομένου. πρὸς ἕν δὲ καὶ μίαν

ὢν ἄνθρωπος καὶ ἄνθρωπος· καὶ οὐχ ἕτερόν τι δηλοῖ κατὰ τὴν λέξιν ἐπα-
ναδιπλούμενον τὸ ἔστιν ὁ ἄνθρωπος, καὶ ἄνθρωπος καὶ εἷς ἄνθρωπος· δῆλον δ' ὅτι
οὐ χωρίζεται οὔτ' ἐπὶ γενέσεως, οὔτ' ἐπὶ φθορᾶς. ὁμοίως δὲ καὶ ἐπὶ
τοῦ ἑνός· ὥστε φανερὸν ὅτι ἡ πρόσθεσις ἐν τούτοις ταὐτὸ δηλοῖ· καὶ οὐ
δὲν ἕτερον τὸ ἓν παρὰ τὸ ὄν. ἔτι δ' ἡ ἑκάστου οὐσία, ἕν ἐστιν οὐ κατὰ συμ
βεβηκός. ὁμοίως δὲ καὶ ὅπερ ὄν τι. ὥσθ' ὅσα περ τοῦ ἑνὸς εἴδη, τοσαῦτα καὶ
τοῦ ὄντος ἐστί, περὶ ὧν τὸ τί ἐστι, τῆς αὐτῆς ἐπιστήμης τῷ γένει θεω
ρῆσαι. λέγω δ' οἷον περὶ ταὐτοῦ καὶ τοῦ ὁμοίου καὶ τῶν ἄλλων τῶν τοι
ούτων. καὶ τῶν τούτοις ἀντικειμένων. σχεδὸν δὲ πάντα ἀνάγεται
τἀναντία εἰς τὴν ἀρχὴν ταύτην. τεθεωρήσθω δ' ἡμῖν ταῦτα ἐν
τῇ ἐκλογῇ τῶν ἐναντίων. καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐστίν, ὅ-
σαι περ αἱ οὐσίαι. ὥστε ἀναγκαῖον εἶναί τινα πρώτην καὶ ἐχομέ-
νην αὐτῶν. ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τὸ ὂν καὶ τὸ ἕν. διὸ καὶ ἐπι-
στῆμαι ἀκολουθήσουσι τούτοις. ἔστι γὰρ ὁ φιλόσοφος ὥσπερ ὁ μα-
θηματικὸς λεγόμενος. καὶ γὰρ αὕτη ἔχει μέρη. καὶ πρώτη τις καὶ δευ-
τέρα ἐστὶν ἐπιστήμη. καὶ ἄλλαι ἐφεξῆς ἐν τοῖς μαθήμασιν. ἐπεὶ δὲ
μιᾶς τἀντικείμενα θεωρῆσαι, τῷ δὲ ἑνὶ ἀντίκειται πλῆθος,
ἀπόφασιν δὲ καὶ στέρησιν, μιᾶς ἐστι θεωρῆσαι διὰ τὸ ἀμφοτέρως
θεωρεῖσθαι τὸ ἕν, οὗ ἡ ἀπόφασις, ἢ ἡ στέρησις. ἢ ἁπλῶς λεγομένη
ὅτι οὐχ ὑπάρχει ἐκείνῳ, ἤ τινι γένει. ἔνθα μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ
πρόσεστι παρὰ τὸ ἐν τῇ ἀποφάσει. ἀπουσία γὰρ ἡ ἀπόφασις ἐκείνου
ἐστίν. ἐν δὲ τῇ στερήσει, καὶ ὑποκειμένη τις φύσις γίνεται καθ' ἧς λέγεται ἡ στέ-
ρησις. τῷ δὲ ἑνὶ, πλῆθος ἀντίκειται. ὥστε καὶ τἀντικείμενα τοῖς εἰρη-
μένοις, τό, τε ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον καὶ ὅσα ἄλλα λέγεται, ἢ κα-
τὰ ταῦτα, ἢ κατὰ πλῆθος καὶ τὸ ἕν, τῆς εἰρημένης γνωρίζειν ἐπιστήμης.
ὧν ἐστι καὶ ἡ ἐναντιότης. διαφορὰ γάρ τις ἡ ἐναντιότης. ἡ δὲ
διαφορὰ, ἑτερότης. ὥστ' ἐπειδὴ πολλαχῶς τὸ ἓν λέγεται,
καὶ ταῦτα πολλαχῶς μὲν λεχθήσεται. ὅμως δὲ μιᾶς ἅπαν-
τα γνωρίζειν ἐστίν. οὐ γὰρ εἰ πολλαχῶς, ἑτέρας, ἀλλ' εἰ μήτε καθ' ἓν μήτε
πρὸς ἓν οἱ λόγοι ἀναφέρονται, τότε ἑτέρας. ἐπεὶ δὲ πάντα
πρὸς

πρὸς τὸ πρῶτον ἀναφέρεται, οἷον ὅσα ἓν λέγεται πρὸς τὸ πρῶτον ἕν,
ὡσαύτως φατέον καὶ περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ τῶν ἐναντίων ἔχειν.
ὥστε διελόμενον ποσαχῶς λέγεται ἕκαστον, οὕτως ἀποδοτέον πρὸς
τὸ πρῶτον, ἐν ἑκάστῃ κατηγορίᾳ, πῶς πρὸς ἐκεῖνο λέγεται. τὰ μὲν
γὰρ τῷ ἔχειν ἐκεῖνα. τὰ δὲ, τῷ ποιεῖν. τὰ δὲ, κατ' ἄλλους λεχθήσε-
ται τοιούτους τρόπους. φανερὸν οὖν ὅπερ ἐν ταῖς ἀπορίαις ἐλέχθη,
ὅτι μιᾶς περὶ τούτων καὶ τῆς οὐσίας ἐστὶ λόγον ἔχειν. τοῦτο δ' ἦν ἓν
τῶν ἐν τοῖς ἀπορήμασι. καὶ ἔστι τοῦ φιλοσόφου περὶ πάντων δύνασθαι
θεωρεῖν. εἰ γὰρ μὴ τοῦ φιλοσόφου, τίς ἔσται ὁ ἐπισκεψόμενος. εἰ ταὐτὸ
Σωκράτης, καὶ Σωκράτης καθήμενος. ἢ εἰ ἓν ἑνὶ ἐναντίον, ἢ τί ἐστι τὸ
ἐναντίον, ἢ ποσαχῶς λέγεται. ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων τῶν τοι-
ούτων. ἐπεὶ οὖν τοῦ ἑνὸς, ᾗ ἓν, καὶ τοῦ ὄντος ᾗ ὄν, ταῦτα καθ' αὑτά ἐστι
πάθη, ἀλλ' οὐχ ᾗ ἀριθμοὶ, ἢ γραμμαὶ, ἢ πῦρ, δῆλον ὡς ἐκείνης τῆς
ἐπιστήμης, καὶ τί ἐστι γνωρίσαι, καὶ τὰ συμβεβηκότα αὐτοῖς. καὶ οὐ ταύτῃ ἁ-
μαρτάνουσιν οἱ περὶ αὐτῶν σκοπούμενοι ὡς οὐ φιλοσοφοῦντες. ἀλλ' ὅτι πρό-
τερον ἡ οὐσία, περὶ ἧς οὐδὲν ἐπαΐουσιν. ἐπεὶ ὥσπερ ἔστι καὶ ἀριθμοῦ ᾗ ἀριθ-
μὸς ἴδια πάθη. οἷον, περιττότης, ἀρτιότης, συμμετρία, ἰσότης,
ὑπεροχὴ, ἔλλειψις. καὶ ταῦτα καὶ καθ' αὑτοὺς καὶ πρὸς ἀλλήλους ὑπάρ-
χει τοῖς ἀριθμοῖς. ὁμοίως δὲ καὶ στερεῷ καὶ ἀκινήτῳ καὶ κινουμένῳ, ἀβα-
ρεῖ τε καὶ βάρος ἔχοντι ἔστιν ἕτερα ἴδια, οὕτω καὶ τῷ ὄντι ᾗ ὂν, ἔστι τινὰ
ἴδια. καὶ ταῦτ' ἐστὶ περὶ ὧν τοῦ φιλοσόφου ἐπισκέψασθαι τὸ ἀληθές. ση-
μεῖον δέ. οἱ γὰρ διαλεκτικοὶ καὶ σοφισταὶ, τὸ αὐτὸ μὲν ὑποδύονται
σχῆμα τῷ φιλοσόφῳ. ἡ γὰρ σοφιστικὴ φαινομένη μόνον σοφία ἐστί. καὶ
οἱ διαλεκτικοὶ διαλέγονται περὶ ἁπάντων. κοινὸν δὲ πᾶσι τὸ ὄν ἐστι.
διαλέγονται δὲ περὶ τούτων δῆλον ὅτι, διὰ τὸ τῆς φιλοσοφίας εἶναι αὐ-
τὰ οἰκεῖα. περὶ μὲν γὰρ τὸ αὐτὸ γένος στρέφεται ἡ σοφιστικὴ καὶ ἡ διαλεκ-
τικὴ τῇ φιλοσοφίᾳ. ἀλλὰ διαφέρει, τῆς μὲν, τῷ τρόπῳ τῆς δυνά-
μεως. τῆς δὲ, τοῦ βίου τῇ προαιρέσει. ἔστι δ' ἡ διαλεκτικὴ, πειραστικὴ περὶ
ὧν ἡ φιλοσοφία γνωριστική. ἡ δὲ σοφιστικὴ, φαινομένη, οὖσα δ' οὔ.
ἔτι τῶν ἐναντίων, ἡ ἑτέρα συστοιχία, στέρησις. καὶ πάντα ἀνάγεται εἰς τὸ